

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΚΑΙΣΑΡΙΑΝΗΣ,
ΒΥΡΩΝΟΣ ΚΑΙ ΥΜΗΤΤΟΥ

ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ ΤΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΝΙΗΛ ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩ ΤΡΙΩΝ ΠΑΙΔΩΝ ΤΩΝ ΕΝ ΚΑΜΙΝΩ

ΚΑΙΣΑΡΙΑΝΗ 2007

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΚΑΙΣΑΡΙΑΝΗΣ, ΒΥΡΩΝΟΣ ΚΑΙ ΥΜΗΤΤΟΥ

ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΤΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ

ΔΑΝΙΗΛ

ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩ

ΤΡΙΩΝ ΠΑΙΔΩΝ

ΤΩΝ ΕΝ ΚΑΜΙΝΩ

Δεκεμβρίου ιζ΄.

ἧς τὰ ἐλλείποντα ἀνεπληρώθησαν
ἐκ χειρογράφων τοῦ Ἁγίου Ὄρους Ἄθω
ὑπὸ τοῦ Διονυσίου Ἀνατολικιώτου

Ἐκδίδεται ἐπιμελείᾳ
τοῦ Μητροπολίτου
Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ
ΔΑΝΙΗΛ

ΕΝ ΚΑΙΣΑΡΙΑΝΗ 2007

ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ
ΤΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ
ΔΑΝΙΗΛ
ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩ
ΤΡΙΩΝ ΠΑΙΔΩΝ
ΤΩΝ ΕΝ ΚΑΜΙΝΩ

Σειρά: «Ἐπίκλησις Νο 2»

Ἐξώφυλλο:
Ἔργον ἀδελφότητος Ἱ. Μ. Ἁγίου Ἰωάννου Προδρόμου Καρέα

Copyright:
Ἱερά Μητρόπολις Καισαριανῆς, Βύρωνος καί Ὑμηττοῦ,
Λεωφόρος Ὑμηττοῦ 47-51, Τ.Κ. 161 21 Καισαριανή
Τηλ.: 210.72.24.123
www.imkby.gr • e-mail: info@imkby.gr
ISBN 978-960-98025-1-2

Ἐκδοτική Παραγωγή
ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

ΠΡΟΛΟΓΟΣ

Ὁ Προφήτης Δανιὴλ ἀνεδείχθη εἷς ἐκ τῶν σπανίων καὶ ἁγνῶν χαρακτήρων τῶν θρησκευτικῶν προσωπικοτήτων τῆς Παλαιᾶς Διαθήκης.

Ἡ νεότης καὶ ἡ ἀνδρικὴ ἡλικία του ἦσαν ἀφιερωμέναι εἰς τὸν Θεόν. Διετήρει τὴν ἁγνότητα τοῦ χαρακτῆρός του ζῶν ἐν τῷ μέσῳ δεινῶν περιστάσεων καὶ μεγαλοπρεποῦς αὐλῆς. Οὐδέποτε ἐλησμόνησε τὰ καθήκοντα αὐτοῦ πρὸς τὸν Θεόν, ὃν ὡμολόγει ἐνώπιον εἰδωλολατρῶν ἡγεμόνων, καὶ χάριν Αὐτοῦ ἐθυσίασε καὶ θέσιν καὶ προνόμια καὶ πλούτη καὶ δόξαν καὶ ζωὴν καὶ πάντα τὰ χαμαίζηλα τοῦ βίου.

Εἰς τὸ βιβλίον αὐτοῦ παραθέτει ἱστορίας καὶ προφητείας. Τὰ πρῶτα ἓξ κεφάλαια αὐτοῦ εἶναι ἱστορικὰ τὰ δὲ λοιπὰ προφητικά. Τὰ γεγονότα ἅτινα περιλαμβάνει εἶναι ἀξιοθαύμαστα, σκοπὸν ἔχοντα νὰ ἀποδείξουν εἰς τὸν λαὸν τοῦ Θεοῦ, ὅτι καὶ εἰς δεινὰς περιστάσεις ἡ πανσθενουργὸς χεὶρ τοῦ Κυρίου δύναται νὰ εὐλογήσῃ, προστατεύσῃ καὶ ἐλευθερώσῃ αὐτόν. Αἱ προφητεῖαι ἄρχονται ἀπὸ τῶν ἡμερῶν τοῦ προφήτου καὶ ἐπεκτείνονται μέχρι τῶν ἐσχάτων, τῆς Δευτέρας Παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Προφήτης Δανιὴλ εἶναι ὁ προφήτης τῶν δύο παρουσιῶν τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἤτοι τῆς πρώτης ἐν σαρκὶ καὶ τῆς δευτέρας ἐν δόξῃ.

Ὁ ἀναγνώστης τοῦ βιβλίου τοῦ Προφήτου Δανιὴλ διαπιστώνει εὐχερῶς τὴν μεγάλην διαφορὰν τοῦ Προφήτου Δανιὴλ ἀπὸ τοὺς προγενεστέρους αὐτοῦ Προφήτας. Ὁ Προφήτης Δανιὴλ δὲν εἶναι ὁ αὐστηρὸς ἐπιτιμητὴς τῶν πράξεων τοῦ λαοῦ, δὲν εἶναι ὁ ὁρμητικὸς κήρυξ κατὰ τῆς ἁμαρτίας τοῦ λαοῦ, ὡς οἱ προγενέστεροι αὐτοῦ ὑπῆρξαν, καίτοι ἀναγνωρίζει ὅτι αὕτη ὑπάρχει. Δὲν εἶναι ὁ ἀδάμαστος παλαιστὴς τοῦ τύπου τῶν προηγουμένων προφητῶν κατὰ τῆς διαφθορᾶς τῶν ἰσχυουσῶν τάξεων, βασιλέων, ἱερέων καὶ ψευδοπροφητῶν, διὸ καὶ δὲν διατυπώνει προφητείας περὶ καταστροφῆς καί τιμωρίας τοῦ λαοῦ. Δὲν εἶναι ὁ προάγγελος ἐπερχομένης καταστροφῆς καὶ τιμωρίας τοῦ ἰουδαϊκοῦ λαοῦ.

Ἀντιθέτως εἶναι ὁ ἐμψυχωτὴς τοῦ ἰουδαϊκοῦ λαοῦ εἰς χρόνους δυσχερεῖς, ὁ προάγγελος καλυτέρου μέλλοντος, τῆς τελικῆς νίκης τοῦ λαοῦ τοῦ Θεοῦ.

Ὁ Προφήτης Δανιὴλ παρουσιάζεται ὡς προικισμένος μὲ σοφίαν καὶ δύναμιν προσηλωμένος εἰς τὸν νόμον τοῦ Θεοῦ. Διὸ καὶ ἡ δοθεῖσα αὐτῷ σοφία καὶ ἡ ἀνάδειξις τούτου παρουσιάζεται ὡς ἀνταμοιβὴ τῆς προσηλώσεως αὐτοῦ εἰς τὸν Θεὸν καὶ ὁ προφήτης Δανιὴλ χαρακτηρίζεται ὡς *«ἀνὴρ ἐπιθυμιῶν»* (Δανιὴλ θ΄ 23), δηλ. ἀνὴρ ἀγαπητός.

Ὁ Προφήτης παρουσιάζεται εἰς ἡμᾶς ὑπέροχος ὡς μία πνευματικὴ προσωπικότης μὲ ἀκλόνητον πίστιν εἰς τὴν νίκην τοῦ ἀγαθοῦ, εἰς τὴν ἐπικράτησιν τοῦ δικαίου ὑπὲρ τὴν ὑλικὴν βίαν, τοῦ πνεύματος ὑπὲρ τὴν ὕλην.

* * *

Τὰ τελευταῖα κεφάλαια τοῦ βιβλίου θὰ παρηγοροῦν πάντοτε καὶ θὰ ἐνθαρρύνουν πάντα πνευματικὸν ἄνθρωπον.

Ἀφ᾽ ὅτου, νεύματι θείῳ, ἔλαβον, κατὰ τὴν εἰς μοναχὸν κουράν μου, τὸ ὄνομα τοῦ Προφήτου Δανιήλ, ἤρχισα νὰ μελετῶ τὸν βίον τοῦ Ἁγίου, οὗτινος ἔλαβον τὸ ὄνομα, τὸ

συγγραφὲν ὑπ᾽ αὐτοῦ βιβλίον καὶ γενικῶς τὴν ἐποχὴν τῆς δράσεώς του καὶ τὰς θεοπνεύστους προφητείας του.

Μὲ ἔθελξεν ἡ φωτεινοτάτη μορφή του, καὶ ἡ ἁγία ζωή του. Διὰ τοῦτο καὶ ἀπεφάσισα νὰ ἐπιμεληθῶ τῆς Ἀσματικῆς Ἀκολουθίας του. Εἰς τὸ Μηναῖον τοῦ Δεκεμβρίου (ιζ΄) ἡ Ἀκολουθία δὲν εἶναι πλήρης, ἣν ἀνέλαβε νὰ συμπληρώσῃ ἐκ χειρογράφων τοῦ Ἄθω ὁ ἐπιμελητὴς τῶν «Διπτύχων» τῆς Ἐκκλησίας τῆς Ἑλλάδος κ. Διονύσιος Ἀνατολικιώτης, ὅν καὶ εὐχαριστοῦμεν διὰ τὴν προσφοράν του αὐτήν.

Ἐκδίδομεν ἐντύπως τὴν Ἱερὰν Ἀκολουθίαν ταύτην πρὸς προβολὴν τοῦ μεγάλου Προφήτου καὶ δόξαν τοῦ ἐν Τριάδι Θεοῦ, τοῦ εὐλογητοῦ εἰς τοὺς αἰῶνας.

† Ὁ Καισαριανῆς, Βύρωνος καὶ Ὑμηττοῦ Δανιήλ

Ἔγραφον ἐν Καισαριανῇ
τῇ 1ῃ Νοεμβρίου 2007
Μνήμην τῶν Ἁγίων Ἀναργύρων
Κοσμᾶ καὶ Δαμιανοῦ.



Οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ.

ΑΚΟΛΟΥΘΙΑ ΑΣΜΑΤΙΚΗ

ΤΟΥ ΕΝΔΟΞΟΥ ΠΡΟΦΗΤΟΥ

ΔΑΝΙΗΛ

ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤΩ

ΤΡΙΩΝ ΠΑΙΔΩΝ

ΤΩΝ ΕΝ ΚΑΜΙΝΩ

Δεκεμβρίου ιζ΄.

Μνήμη τοῦ ἁγίου προφήτου Δανιὴλ καὶ τῶν ἁγίων Τριῶν Παίδων

ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Προφητικὴ πανδαισία νῦν παρατίθεται, δεῦτε συμφώνως πάντες, κορεσθῶμεν τοῖς ὕμνοις, φιλέορτοι τιμῶντες χαρμονικῶς, τοὺς ἡμᾶς συγκαλέσαντας, Δανιὴλ τὸν προφήτην ἅμα τοὺς Τρεῖς, Παῖδας θείους γενναιόφρονας.

Τῆς θαυμαστῆς βιωτῆς σου τὰ κατορθώματα, οἱ πόθῳ συσχεθέντες ἐπὶ σὲ ἐξαιρέτῳ, συνήλθομεν ὑμνῆσαι σοφὲ Δανιήλ, ἐν ναῷ τῷ ἁγίῳ σου, ὁμοῦ τῶν θείων Παίδων τε τῶν Τριῶν, παρ᾽ ὑμῶν ἰσχὺν αἰτούμενοι.

Ὥ᾽σπερ ποτὲ ἐν τῷ λάκκῳ συγκλεισθεὶς ἔνδοξε, θηρσὶν ἀγριωτάτοις, ἐτιθάσευσας τούτους, θείᾳ σου δεήσει σοφὲ Δανιήλ, οὕτω νῦν καθημέρωσον, τῶν σὲ τιμώντων τὰ πάθη τῶν καρδιῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Ὡ᾽ς τῆς καμίνου τὴν φλόγα ποτὲ πανεύφημοι, τῇ πρὸς Θεὸν δεήσει, μετηγάγετ᾽ εἰς δρόσον, Παῖδες Τρεῖς θεόπται, οὕτω καὶ νῦν, παθῶν τὴν κάμινον ψύξατε, τῶν γεραιρόντων πανήγυριν τὴν ὑμῶν, ταῖς πρεσβείαις ὑμῶν ἅγιοι.

Δόξα. Ἦχος α΄.

Τὴν τοῦ Σωτῆρος ἐκ Παρθένου γέννησιν, εὐσεβῶς προεορτάζοντες, τὴν μνήμην ὑμῶν χαρμονικῶς ἐπιτελοῦμεν, ὡς ταύτην ὑμεῖς πόρρωθεν προτυπώσαντες, προφῆται πανεύφημοι· ὁ μὲν διὰ τῆς ἐκ λίθου ὁράσεως, τοῦ ἄνευ χειρὸς ἐξ ὄρους ἀποτμηθέντος· οἱ δὲ διὰ τῆς πυριφλέκτου καὶ δροσοβολούσης καμίνου· δι᾽ ὃ καὶ τὴν πρεσβείαν ὑμῶν αἰτοῦμεν, ἵνα ὥς περ τὴν ὑμετέραν πανήγυριν ὑμνοῦμεν, οὕτω κἀκείνην χαρμονικῶς ἑορτάσωμεν.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Δεῦτε πιστοὶ ἐπαρθῶμεν ἐνθέως, καὶ κατίδωμεν συγκατάβασιν θεϊκὴν ἄνωθεν, ἐν Βηθλεὲμ πρὸς ἡμᾶς ἐμφανῶς· καὶ νοῦν καθαρθέντες, τῷ βίῳ προσενέγκωμεν, ἀρετὰς ἀντὶ μύρου, προευτρεπίζοντες πιστῶς, τῶν Γενεθλίων τὰς εἰσόδους, ἐπὶ τῶν ψυχικῶν θησαυρισμάτων,

κράζοντες· Ἐν ὑψίστοις δόξα Θεῷ τῷ ἐν Τριάδι· δι᾽ οὗ ἐν ἀνθρώποις εὐδοκία ἐπεφάνη, τὸν Ἀδὰμ ἐκλυτρώσασθαι τῆς ἀρχεγόνου ἀρᾶς ὡς φιλάνθρωπος.

Εἰς τὸν στίχον.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ἀ εῦτε τὴν Δανιήλ, Τριῶν τε Παίδων μνήμην, τελέσωμεν ὑμνοῦντες, τὴν τούτων πολιτείαν, δι᾽ ἧς ἐμεγαλύνθησαν.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἀ άκκῳ κατακλεισθείς, θηρσὶ συνῳκισμένος, Δανιὴλ ὁ προφήτης, ἀμέτοχος τῆς τούτου, ἐδείκνυτο κακώσεως.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἔ ̓σβεσαν τοῦ πυρός, τὴν δύναμιν οἱ Παῖδες, χορεύοντες ἐν μέσῳ, καμίνου καὶ ὑμνοῦντες, Θεὸν τὸν παντοδύναμον.

Δόξα. Καὶ νῦν. Προεόρτιον, αὐτόμελον.

Ὄ ἶκος τοῦ Ἐφραθᾶ, ἡ πόλις ἡ ἁγία, τῶν προφητῶν ἡ δόξα, εὐτρέπισον τὸν οἶκον, ἐν ᾧ τὸ θεῖον τίκτεται.

(Καὶ τὰ λοιπά)



ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ «Κύριε, ἐκέκραξα» ἱστῶμεν στίχους ιε΄ καὶ ψάλλομεν τὰ κάτωθι προσόμοια.

Στιχηρὰ προσόμοια τοῦ προφήτου.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ὁ λαμπρότατος ἥλιος, προφητῶν ὁ περίδοξος, εὐφημείσθω σήμερον θείοις ἄσμασι, τῶν χαρισμάτων τοῦ Πνεύματος, θεῖον ἐνδιαίτημα, ἡ ἀείρυτος πηγή, ἡ διόπτρα τοῦ Πνεύματος, ὁ ὑπέρτιμος, καὶ πανάριστος στῦλος τῶν δογμάτων, ἡ κρηπὶς τῆς οἰκουμένης, τὸ ἀκατάσειστον ἔρεισμα.

Ὡς ἀστέρα φανότατον, ἑωσφόρον ὡς μέγιστον, ἐπιθυμιῶν τε ἄνδρα τιμῶμέν σε, τῶν ἀρετῶν ταῖς λαμπρότησι, φαιδρῶς ἀποστίλβοντα, καὶ φωτίζοντα πιστῶν, τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ βοῶμέν σοι· Δανιὴλ ὑποφῆτα τὸν Σωτῆρα, ἐκδυσώπει τοῦ σωθῆναι, τοὺς εὐσεβῶς ἀνυμνοῦντάς σε.

Ἐν οὗ ἡ γλῶσσα ὡς κάλαμος, γραμματέως πολύσοφε, ὀξυγράφου γέγονε ῥητορεύουσα· νόμος Θεοῦ γὰρ ἐγκάρδιος, ἐν σοὶ πεπολίτευται, καὶ τὸ στόμα σου λαλοῦν, κρίσιν ἔνδικον δέδεικται· ἐν οἷς ἤσχυνας, παρανόμους πρεσβύτας καὶ Σωσάνναν, ἐκ θανάτου ἐλυτρώσω, τῶν προφητῶν τὸ ἀγλάισμα.

Στιχηρὰ προσόμοια τῶν ἁγίων Τριῶν Παίδων.

῏Ηχος ὁ αὐτός. Ἔδωκας σημείωσιν.

Νόμων ἀντεχόμενοι, τῶν θεοσδότων πανόλβιοι, μιαραῖς οὐκ ἐχράνθητε, τροφαῖς ἀλλ᾽ ἀκήρατον, τῆς ψυχῆς τὸ κάλλος, διασεσωκότες, διετηρήσατε σαφῶς, ἀδιαλώβητον καὶ ἀμάραντον, τὸ ἄνθος τὸ θαυμάσιον, καὶ τὴν τερπνὴν ὡραιότητα, τοῦ Δεσπότου δοξάζοντος, τοὺς αὐτὸν θεραπεύοντας.

Θείῳ πυρακτούμενοι, οἱ νεανίαι πυρσεύματι, τοῦ πυρὸς κατεφρόνησαν· ἐν ᾧ δροσιζόμενοι, οἱ σεπτοὶ χορείαν, ἐκλελαμπρυσμένην, διατυπώσαντες ᾠδήν, τὴν πολυύμνητον ᾖδον ψάλλοντες· τὴν ὄντως ἀδιάδοχον, καὶ ἀμετάπτωτον πάνσοφοι, βασιλείαν ποθήσαντες, τὴν οὐράνιον ἔνδοξοι.

Λόγον τῆς σοφίας σου, καταπλαγέντες οἱ τύραννοι, Δανιὴλ ἀξιάγαστε, καὶ Παίδων τὴν σύνεσιν, τῆς Χαλδαίων χώρας, ἄρχειν καὶ δεσπόζειν, ὑμᾶς κατέστησαν σεπτοί· τὴν ἀρετὴν γὰρ οἶδε σαφέστατα, θαυμάζειν καὶ πολέμιος, καὶ πολιτείας λαμπρότητα· τῶν παθῶν γὰρ κρατήσαντες, ἡγεμόνες γεγόνατε.

Ἕτερα ὅμοια (νέα).

Λάκκῳ καθειργνύμενος, τὴν ἀρετὴν εἶχες σύνοικον, Δανιὴλ ἱερώτατε, προφήτῃ τρεφόμενος, ὡς προφήτης μάκαρ, καὶ τὰς τῶν λεόντων σαφῶς ἐπέδησας ὁρμάς, ὡς οἱ Τρεῖς Παῖδες κάμινον ἔσβεσαν, τὴν δρόσον τὴν οὐράνιον, παρὰ Θεοῦ εἰσδεξάμενοι, δι᾽ ἀγγέλου τοῦ ἄνωθεν, ἐκπεμφθέντος οἱ ἔνδοξοι.

Προφήτης παμμέγιστος, ἀνηγορεύθης καὶ πάντιμος, Δανιὴλ παναοίδιμε, τὴν δόξαν τὴν ἄφραστον, ἀποφήνας ὄντως, τηλαυγῶς παμμάκαρ, ὡς τοῦ ἁγίου γεγονώς, Πνεύματος σκεῦος τὸ χρυσαυγέστατον· προβλέπεις τε τὰ μέλλοντα, καὶ προκηρύττεις τρανότατα, τῶν κρυφίων τὴν δήλωσιν, πρεσβευτὰ τῶν ὑμνούντων σε.

Δόξα. Ἦχος β΄. Ἀνατολίου.

Πνευματικῶς ἡμᾶς πιστοί, συνήγαγε σήμερον ὁ προφήτης Δανιήλ· καὶ τράπεζαν προτίθησιν ἀρετῶν δαψιλῶς, πλουσίοις καὶ πένησι καὶ ξένοις καὶ αὐτόχθοσι· καὶ κρατῆρα νοητόν, προχέοντα νᾶμα εὐσεβείας, καὶ εὐφραίνοντα καρδίας πιστῶν, καὶ Πνεύματος Ἁγίου χάριν παρέχοντα. Οὗτος γὰρ ὁ προφήτης, ὁ φανότατος λύχνος, ὁ λάμψας ἐν τῷ κόσμῳ, τὰ σεβάσματα πάντα τῶν Ἀσσυρίων καθεῖλε, καὶ θηρῶν ἀτιθάσων στόματα ἔφραξε. Σὺν τούτῳ καὶ οἱ Τρεῖς Παῖδες εὐφημείσθωσαν, οὐ χρυσοῖ τῇ φύσει ὄντες, χρυσίου δὲ δοκιμώτεροι δεικνύμενοι· οὐ γὰρ ἐχώνευσεν αὐτοὺς τὸ πῦρ τῆς καμίνου, ἀλλ᾽ ἐφύλαξεν ἀκεραίους, οὓς νάφθα καὶ πίσσα καὶ κληματίδες ἔστεψαν. Ὁ δὲ ἀγαγὼν ἡμᾶς, εἰς τὴν περίοδον τοῦ χρόνου Κύριος, ἀξιώσαι ἡμᾶς φθάσαι, καὶ ἐπὶ τὴν κυρίαν καὶ σεβασμίαν ἡμέραν, τῶν γενεθλίων Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Δεῦτε ἅπαντες Χριστοῦ τὰ γενέθλια, πιστῶς προεορτάσωμεν· καὶ νοητῶς τὸν ὕμνον, ὡς ἀστέρα προβαλλόμενοι, μαγικὰς δοξολογίας, μετὰ ποιμένων βοήσωμεν· Ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ παρθενικῆς νηδύος, βροτοὺς ἀνακαλέσασθαι.

Εἴσοδος, *«Φῶς ἱλαρόν»*, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα
(κεφ. 2, 31-36, 44-45)

Εἶπε Δανιὴλ τῷ Ναβουχοδονόσορ· Σύ, βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία· μεγάλη ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερής, ἑστῶσα πρὸ προσώπου σου ἡ ὅρασις αὐτῆς, φοβερά. Εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον. Ἐθεώρεις, ἕως ὅτου ἀπετμήθη λίθος ἀπὸ ὄρους ἄνευ χειρός, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. Τότε ἐλεπτύνθησαν εἰς ἅπαξ, τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη ἐν αὐτοῖς. Καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο εἰς ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. Τοῦτό ἐστι τὸ ἐνύπνιον· καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. Ἀναστήσει ὁ Θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥ τις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· καὶ λεπτυνεῖ καὶ ἐκλικμήσει πάσας τὰς βασιλείας· καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας, ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. Ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα
(κεφ. 10, 1-3, 7-12, 16-19)

Ἐν ἔτει τρίτῳ Κύρου τοῦ βασιλέως Περσῶν, λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ· καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν ὀπτασίᾳ. Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν. Καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν ἐν τῷ στόματί μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ᾽ ἐμοῦ οὐκ εἶδον· ἀλλ᾽ ἢ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ᾽ αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ. Καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ εἶδον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν τῷ ἀκοῦσαί με φωνὴν ῥημάτων αὐτοῦ ἤμην κατανενυγμένος ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ταρσοὺς χειρῶν μου. Καὶ εἶπε πρός με· Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρός με τὸν λόγον τοῦτον ἀνέστην ἔντρομος. Καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου, καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί, καὶ οὐκ ἔσχον ἰσχύν· καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου μου τούτου; Καὶ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί. Καὶ προσέθετο, καὶ

ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με καὶ εἶπέ μοι· Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι, ἀνδρίζου καὶ ἴσχυε. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ ἴσχυσα καὶ εἶπα· Λαλείτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα

(κεφ. 3, 7-23)

Ἔτους ὀκτωκαιδεκάτου ἐγένετο, ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ Ναβουχοδονόσορ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Σύ, βασιλεῦ, ἔθηκας δόγμα πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν οὖν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ. Καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· Εἰ ἀληθῶς, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης

τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ τίς ἐστι θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; Ἀπεκρίθησαν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς. Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι, ἣ ἔστησας, οὐ προσκυνοῦμεν. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύι εἶπε πεδήσαντας τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε, καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. Καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι. Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα, ἦχος α΄.

Ἱερὰν πανήγυριν προφητικήν, σήμερον ἀδελφοὶ συγκροτήσωμεν, Δανιὴλ τὸν σοφώτατον, ἄνδρα ἐπιθυμιῶν ὄντα, καὶ τοὺς σὺν αὐτῷ ἅμα Τρεῖς Παῖδας, ἐγκωμίων ἐπαίνοις στέφοντες· οὗτοι γὰρ τὰς αὐγὰς τῆς τρισηλίου θεότητος εἰσδεχόμενοι, τοὺς αὐτοὺς ἀνευφημοῦντας, εὐχαῖς αὐτῶν καταυγάζουσιν εὐφροσύνης καὶ ἀγαλλιάσεως, τὰς ψυχὰς αὐτῶν ἐμπιπλῶντες· δι᾽ ὃ βοήσωμεν· Φιλάνθρωπε Κύριε, ὁ δι᾽ αὐτῶν τὰ μέλλοντα ὡς παρόντα ὑποδείξας τοῖς ἀγαπῶσί σε, καὶ ἡμᾶς ἀξίωσον, τῆς τῶν μελλόντων ἀγαθῶν ἀπολαύσεως τυχεῖν, εὐχαῖς αὐτῶν διὰ τὸ μέγα σου ἔλεος.

Ἦχος ὁ αὐτός.

Προφήτης χρηματίσας τῶν θείων χρησμῶν, Δανιὴλ θεόληπτε, τὰ τῶν κρατούντων ἐνύπνια διέλυσας, καὶ τὴν ἐκ Παρθένου σάρκωσιν τοῦ Σωτῆρος προηγόρευσας, ὡς λίθον ἄνευ χειρὸς τμηθέντα, καὶ τὰ διεστῶτα συνάψαντα· ὅθεν προδήλων τῶν σῶν προρρήσεων, καθορῶντες τὸ πέρας, καὶ σὲ ἐν οὐρανοῖς ἐμφανέστερον κλεϊζόμενον, τῇ θεωρίᾳ τῶν προφητευθέντων, δυσωποῦμεν τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Ἀνὴρ ἐπιθυμιῶν ὑπὸ ἀγγέλου κληθείς, Δανιὴλ θεσπέσιε, νεφέλη καθάπερ μυστική, πρώιμον ὄμβρον τῇ γῇ ἐπιστάξασα, τὸν οὐράνιον ἄρτον ὡς ὄψιμον ὑετόν, ἐν ὑστέροις χρόνοις τῷ κόσμῳ παραγενέσθαι προηγόρευ-

σας, ἐν προσευχαῖς σχολάζων διηνεκῶς· ὅθεν οἱ φθονοῦντές σε, ἐν λάκκῳ λεόντων ἐνέβαλον· συννηστευτὰς δὲ τοὺς θῆρας ἔσχες ἀοίδιμε, καὶ δι᾽ Ἀββακοὺμ παραδόξως τροφὴν λαβών, ἀβλαβὴς διετηρήθης, καὶ παρὰ πάντων δεδόξασαι. Διὸ τὴν φωσφόρον σου μνήμην γεραίρομεν, αἰτούμενοι τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Ἦχος δ΄.

Συνελθόντες οἱ πιστοί, ἐν εὐφροσύνῃ ψυχῆς, τὴν εὔσημον μνήμην, Δανιὴλ τοῦ προφήτου τιμήσωμεν· οὗτος γὰρ ὁ πανένδοξος, τὰ σεβάσματα τῶν Ἀσσυρίων καθεῖλε, καὶ θηρῶν ἀτιθάσων τὰ στόματα ἔφραξε, δράκοντα δὲ διαβαλὼν ἐνέκρωσε, καὶ Σωσάνναν σώφρονα συκοφαντουμένην διέσωσε· καὶ γνώστης τῶν κρυφίων παρὰ Θεοῦ γεγονώς, τρανῶς τὴν ἐκ Παρθένου σωτήριον σάρκωσιν προηγόρευσε· καὶ οἷα μύστης τῶν ἀρρήτων, καὶ θεηγόρος θεόπνευστος, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Παυϊτικῶς σήμερον πιστοί, τὸν προφήτην Κυρίου ὕμνοις τιμήσωμεν, Δανιὴλ τὸν σοφώτατον, τῶν χαρισμάτων ὄντα τοῦ Πνεύματος ἔμπλεων, παρ᾽ ὧν αὐγαζόμενος, τρανῶς τῶν κρατούντων, τὰ κεκρυμμένα ἐνύπνια ἐσαφήνισεν· ἀλλὰ καὶ ὡς προφήτῃ ὄντι, προφήτης αὐτῷ παρέστη, ἐν λάκκῳ καθειργμένῳ μεταρσίως τροφὴν κομίζων. Τοῦτον οὖν σὺν τοῖς Τρισὶν Νεανίαις, τοῖς τὴν κάμινον τοῦ πυρὸς σβέσασι, πρέσβεις θερμοὺς προβάλωμεν, πρὸς τὸν Σωτῆρα Κύριον, τὸν ἀναμάρτητον.

Δόξα. Ἦχος πλ. β΄.

Ὄργανον τοῦ Πνεύματος ἀναδειχθείς, Δανιὴλ θεσπέσιε, τὰς τῶν μελλόντων γενήσεσθαι εἰκόνας, ὡς ἔσοπτρον διαφανέστατον, σοῖς ῥήμασι προηγόρευσας, Θεοῦ σε δοξάζοντος, καὶ τὰ μέλλοντα ὡς παρόντα ὑπέδειξας· τὰ τῆς φρικτῆς παρουσίας τοῦ Δεσπότου μυστήρια προϊδών, ἐνδελεχισμοῦ τε τὴν παῦσιν καὶ θυσιῶν, ἀναιμάκτου δὲ θυσίας τὴν ἀνάδειξιν· ὅθεν ὡς κήρυκα καὶ προφήτην, πάντων τῶν μυστηρίων σέβοντες, ἐκτελοῦμεν τὴν μνήμην σου, μετὰ τῶν συνόντων σοι Τριῶν Παίδων· πρεσβεύσατε οὖν πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προέρτιον, ἦχος ὁ αὐτός.

Ἑωιὼν πανηγύριζε, Ἰερουσαλὴμ εὐφραίνου, πόλι Χριστοῦ τοῦ Θεοῦ, ὑπόδεξαι τὸν κτίστην, ἐν σπηλαίῳ καὶ φάτνῃ χωρούμενον· ἀνοίξατέ μοι πύλας· εἰσελθὼν ἐν αὐταῖς, ὄψομαι τὸν ὡς βρέφος σπαργανούμενον, καὶ τὸν δρακὶ συνέχοντα τὴν κτίσιν· ὃν ὑμνοῦσιν ἄγγελοι ἀκαταπαύστῳ φωνῇ, ζωοδότην Κύριον, τὸν σώζοντα τὸ γένος ἡμῶν.

Εἰς τὸν στίχον. Στιχηρὰ προσόμοια,
ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Δανιὴλ ὁ θαυμάσιος, τὴν καρδίαν κτησάμενος, καθαρὸν τοῦ Πνεύματος καταγώγιον, καὶ παρ᾽ αὐτοῦ φωτιζόμενος, μελλόντων τὴν δήλωσιν, προθεσπίζει προφανῶς, προφητείας λαμπρότητι καλλυνόμενος, καὶ τρανῶς σαφηνίζων τῶν κρατούντων, παρανόμων βασιλέων, τὰ κεκρυμμένα ἐνύπνια.

Στίχος. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Προστομώσας τὸ σῶμά σου, τῇ νηστείᾳ ἀδάμαστον, τῶν λεόντων στόμασιν ἀπετέλεσας· μέσον γὰρ τούτων ἱστάμενος, προφῆτα θεσπέσιε, καὶ Θεῷ τῷ ἀγαθῷ, ἀτενίζων διέμεινας ἀπαράτρωτος, ἀπορρήτῳ δυνάμει τοῦ τὰ πάντα, ἐνεργοῦντος παραδόξως, τοῦ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Στίχος. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐπὶ θρόνου καθήμενον, καὶ ἀγγέλοις κυκλούμενον, τὸν ὑπὲρ κατάληψιν ἐθεώρησας, κριτὴν ὑπάρχοντα δίκαιον, προφῆτα θαυμάσιε· ἐκπλαγεὶς δὲ τὸ φρικτόν, τῆς ἐμφόβου ὁράσεως διεσήμανας, τοῖς μετέπειτα πᾶσιν ὑπογράψας, τὴν δευτέραν παρουσίαν, τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν.

Δόξα. Τῶν ἁγίων Παίδων. Ἦχος πλ. β΄.

Ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως, ἐν μέσῳ τῆς καμίνου τοῦ πυρός, τὸν παγκόσμιον ὕμνον ἐμελῳδήσατε, Παῖδες τρισόλβιοι· καὶ τῆς φωνῆς ὑμῶν εἰσήκουσεν, ὁ ὢν ἐγγὺς Κύριος, τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σῴζων· καὶ διατηρήσας ἀσινεῖς, προσεδέξατο ὑμᾶς, ὡς θυσίαν καθαράν· δι᾽ ὃ ἀπόγονοι Ἀβραὰμ τυγχάνοντες, παῖδες Θεοῦ γενέσθαι ἠξιώθητε· παρρησίαν οὖν ἔχοντες πρὸς αὐτόν, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τοῦ προφήτου. Ἦχος ὁ αὐτός.


Λανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα, θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς τεχθῆναι προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος β΄.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα! ἐν τῇ πηγῇ τῆς φλογός, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως, οἱ ἅγιοι Τρεῖς Παῖδες ἠγάλλοντο, καὶ ὁ προφήτης Δανιήλ, λεόντων ποιμήν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σὰ Θεοτόκε μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν· αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.



ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ στιχολογίαν.

Κάθισμα, ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Ὁ θεῖος Δανιήλ, προφητῶν ἡ ἀκρότης, διόπτρα μυστική, ἐκ Θεοῦ ἀνεφάνη, καὶ πᾶσαν τὴν σάρκωσιν, τοῦ Σωτῆρος προήγγειλεν· ἣν νῦν βλέποντες, τοῦτον ἀξίως τιμῶμεν, σὺν θεόφροσι, Παισὶ Τρισὶν ἐν αἰνέσει, Χριστὸν μεγαλύνοντες.

Δόξα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν προφήτην Κυρίου ὕμνοις τιμήσωμεν, τὸν ἐν νόμῳ τὴν χάριν προαγορεύσαντα, Δανιὴλ τὸν θαυμαστόν, καὶ τοὺς θεόφρονας, Τρεῖς Νεανίας σὺν αὐτῷ, τοὺς ἐν καμίνῳ τοῦ πυρός, ἀφλέκτους διασωθέντας· πρεσβεύουσι γὰρ τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει εὐφημούντων αὐτούς.

Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Βηθλεὲμ ἑτοιμάζου τὰ πρὸς ὑπάντησιν, τῆς Παρθένου Μαρίας καὶ Θεομήτορος· ἰδοὺ γὰρ ἔρχεται πρὸς σέ, ἔμβρυον φέρουσα, τὸν συνάναρχον Πατρί, καὶ τῷ Πνεύματι ἀεί, Υἱὸν ὃν ἐν τῷ σπηλαίῳ, γεννήσει, καὶ μετὰ τόκον, πάλιν Παρθένος ὀφθήσεται.

Μετὰ τὴν β΄ στιχολογίαν.

Κάθισμα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Προφῆτα θεόσοφε καὶ ἱερὲ Δανιήλ, τὴν χάριν τοῦ Πνεύματος ἀναλαβὼν δαψιλῶς, ἐνύπνια ἔλυσας· στόματα δὲ λεόντων, ἔφραξας ἐν τῷ λάκκῳ· σάρκωσιν Θεοῦ Λόγου, ἀριδήλως προέφης· αὐτὸν οὖν ἱκέτευε ἐλεηθῆναι ἡμᾶς.

Δόξα. Κατεπλάγη Ἰωσήφ.

Δανιήλ σε τὸν σοφὸν καὶ ἄνδρα ἐπιθυμιῶν, καὶ τοὺς Παῖδας νῦν τοὺς Τρεῖς, ἀνευφημοῦμεν οἱ πιστοί· μανίαν γὰρ οὐκ ἐπτήξατε τῶν κρατούντων, Θεὸν ἀληθινὸν λαμπρῶς κηρύττοντες· λεόντων τὰς ὁρμὰς ἐπεδήσατε, καὶ καιομένην ἐσβέσατε κάμινον, τῇ πίστει ἐνδυναμούμενοι. Ὅθεν βοῶμεν· Μνείαν ποιεῖτε, τῶν ὑμᾶς εὐφημούντων.

Καὶ νῦν. Προεόρτιον ὅμοιον.

Ὃν ἔχων θρόνον οὐρανὸν καὶ ὑποπόδιον τὴν γῆν, ἐσαρκώθη δι᾽ ἡμᾶς ὁ προαιώνιος Θεός, καὶ ἐτέχθη παραδόξως ἐκ τῆς Παρθένου· σπήλαιον αὐτοῦ οἶκος ἐγένετο, φάτνῃ πενιχρᾷ ἀνακλίνεται· διὰ τοῦτο καὶ ἐξ ὕψους αἰνοῦσι, μεγαλοφώνως αὐτὸν οἱ ἄγγελοι· Θεῷ ἡ δόξα ἐν τοῖς ὑψίστοις, ἐπὶ γῆς δὲ εἰρήνη.

Μετὰ τὸν Πολυέλεον.

Κάθισμα, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τοὺς τὴν θείαν μνήμην σου ἐπιτελοῦντας, Δανιὴλ πανεύφημε καὶ ἄνερ ἐπιθυμιῶν, σκέπασον πάντας καὶ φύλαττε, ταῖς πρὸς τὸν κτίστην, θερμαῖς ἱκεσίαις σου.

Δόξα. Ὅμοιον.

Παῖδες οἱ τρισάριθμοι Ἀβραμιαῖοι, Ἀνανία πάνσοφε σὺν Ἀζαρίᾳ Μισαήλ, ἡμᾶς φρουρήσατε μέλποντας, τὴν σεβασμίαν ὑμῶν νῦν πανήγυριν.

Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Βηθλεὲμ εὐτρέπισον σπήλαιον θεῖον, ἡ Παρθένος ἥκει γάρ, Χριστὸν μολοῦσα τοῦ τεκεῖν· καὶ μάγοι δῶρα προσφέροντες, μετὰ ποιμένων, αὐτὸν προσκυνήσουσιν.

Τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἦχου· «Ἐκ νεότητός μου...» καὶ τὸ προκείμενον· «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ», μετὰ στίχου· «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος». Τὸ «Πᾶσα πνοή...», καὶ Εὐαγγέλιον, Ἐκ τοῦ κατὰ Μᾶρκον· «Εἶπεν ὁ Κύριος· Ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως...» (ζήτει τῇ Τρίτῃ μετὰ τὴν Κυριακὴν τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου ἢ ἐνταῦθα ἐν τῷ παραρτήματι). Ὁ Ν΄ ψαλμὸς χῦμα.

Δόξα. Ταῖς τῶν προφητῶν σου πρεσβείαις...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις...
Στίχος. Ἐλέησόν με, ὁ Θεός...

Ἰδιόμελον, Ἦχος β΄.

Χαίρετε προφῆται τίμιοι, οἱ τὸν νόμον Κυρίου, καλῶς διαταξάμενοι, καὶ τῇ πίστει φανέντες, ἀπόρθητοι στῦλοι ἀκλινεῖς· ὑμεῖς γὰρ καὶ μεσῖται ὤφθητε, τῆς Νέας Διαθήκης Χριστοῦ· καὶ μεταστάντες πρὸς οὐρανόν, αὐτὸν ἱκετεύσατε, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Οἱ κανόνες· ὁ τῆς Θεοτόκου, ὁ τοῦ προφήτου Δανιὴλ καὶ ὁ τῶν ἁγίων Τριῶν Παίδων.

Κανὼν τοῦ προφήτου Δανιήλ, οὗ ἡ ἀκροστιχίς· **«Σοφὸν Δανιὴλ ᾄσμασι περιστέφω».** Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Ἆσμα ἀναπέμψωμεν λαοί.

Φῶτερ εὐεργέτα τοῦ παντός, τῶν ἀγαθῶν ὁ αἴτιος, τῇ φωτοφόρῳ σου, τὴν ἔννοιάν μου αἴγλῃ, φωτίζοις φιλάνθρωπε, ὅπως τοῦ σοῦ προφήτου, εὐφημήσω τὴν ἔνδοξον μνήμην.

Θεῖ᾽ ὄρθρος ὡς ἀνέτειλας σοφέ, τῆς σωφροσύνης σώφρονα, προκινδυνεύουσαν Σωσάνναν διασώσας· Θεὸς γάρ σε ἤγειρε, γνώστης ὁ τῶν κρυφίων, πρεσβυτέρους δεινοὺς κατακρῖναι.

Φόβῳ στοιχειούμενοι Θεοῦ, οἱ Ἀβραὰμ ἀπόγονοι, τροφὴν παράνομον, ἀπώσαντο γενναίως, καὶ θείῳ τρεφόμενοι, πόθῳ τῆς εὐσεβείας, πρὸς μεγίστην ἐπήρθησαν δόξαν.

Θεοτοκίον.

Θεῖ᾽ ὄρος ἐθεώρεις νοητόν, Δανιὴλ ἱερώτατε, τὴν μόνην ἄχραντον, ἀειπάρθενον κόρην· ἐξ ἧς περ ἐκτέτμηται, λίθος ὁ ἀκρογωνιαῖος, καὶ τὴν πλάνην συνέτριψε πᾶσαν.

Ἕτερος κανών, τῶν ἁγίων Τριῶν Παίδων, οὗ ἡ ἀκροστιχίς· **«Τρεῖς Παῖδας ὑμνῶ Δανιήλ τε τὸν μέγαν».** Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος ὁ αὐτός. Ὑγρὰν διοδεύσας.

Τὸν ἄναρχον Λόγον τὸν ἐκ Πατρός, πρὸ πάντων αἰώνων, γεννηθέντα θεοπρεπῶς, τὸν ἐν τῇ καμίνῳ Νεανίαις, συμβολικῶς ὁραθέντα δοξάσωμεν.

Ῥήματων τυράνου τοῦ δυσσεβοῦς, οἱ εὐγενεῖς Παῖδες, καταπτύσαντες καρτερῶς, τροφαῖς παρανόμων μὴ χρανθῆναι, χαλδαϊκῶς οὐ κατηξίωσαν.

Ἐτρέφεσθε λόγῳ μὲν ψυχικῶς, τροφαῖς αὐτομάτοις, κεχρημένοι δὲ σαρκικῶς, τῶν ἁβροδιαίτων τὰς ἰδέας, τῷ βασιλεῖ ὡραιότεροι δείκνυσθε.

Θεοτοκίον.

Ἰὸν τὸν τοῦ ὄφεως ἀκοαῖς, πικρῶς ἐμπαρέντα, ταῖς τῆς Εὔας ἡ ἐκ Δαυίδ, βλαστήσασα κόρη θεραπεύει, τὸν λυτρωτὴν κυοφορήσασα.

Καταβασία.

Χριστὸς γεννᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Τοῦ προφήτου.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νόησιν καὶ σύνεσιν, παρὰ Θεοῦ λαβὼν ἔλυσας, φωτοφανῶς, τὰ ἐσκιασμένα τῶν κρατούντων ἐνύπνια.

Ἀράκοντα ἐνέκρωσας, διὰ τροφῆς βαλὼν ἔνδοξε, τὸν αἰσθητόν· τοὺς πρὶν ἀοράτους, ἐτροπώσω γὰρ δαίμονας.

(Νέον· ἐκτὸς ἀκροστιχίδος)

Χαίροις παμμακάριστε, Θεοῦ προφῆτα θεσπέσιε, ὦ Δανιήλ· σὺ γὰρ τοῦ Δεσπότου, παρουσίαν προήγγειλας.

Θεοτοκίον.

Ἄγλῃ φωτιζόμενος, τὸ ἐμφανὲς ὁρᾷς ἔνδοξε, ὄρος Θεοῦ, τὴν εὐλογημένην, τὸ βροτῶν ἐγκαλλώπισμα.

Τῶν ἁγίων Παίδων. Ὁ αὐτός.

Σύνεσιν κτησάμενοι, τὴν θεοδίδακτον Δέσποτα, Παῖδες Δαυίδ, νόμους τοὺς πατρῴους, θεοφρόνως ἐτήρησαν.

Πῦρ οὐ κατεφλόγισε, τὰ καθαρώτατα σώματα, τῶν εὐσεβῶν· διὰ γὰρ νηστείας, ψυχοτρόφου ἠρδεύοντο.

Ἅλινον τὸν παγκόσμιον, καὶ πολυύμνητον ᾄδουσι, Παῖδες οἱ Τρεῖς, μέσον τῆς καμίνου, θαυμαστῶς δροσιζόμενοι.

Θεοτοκίον.

Ἵνα τόκον Δέσποτα, ἐκ παρθενεύοντος σώματος, δείξῃς ἡμῖν, σῴζεις ἐν καμίνῳ, παρθενεύοντα σώματα.

Καταβασία.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Κοντάκιον τῶν Τριῶν Παίδων.
Ἦχος πλ. β΄. Αὐτόμελον.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ᾽ ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι ἐν τῷ σκάμματι, τοῦ πυρὸς ἐδοξάσθητε· ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε· Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ὁ οἶκος.

Ἔκτεινόν σου τὴν χεῖρα, ἧς πάλαι ἔλαβον πεῖραν Αἰγύπτιοι πολεμοῦντες, καὶ Ἑβραῖοι πολεμούμενοι· μὴ καταλίπῃς ἡμᾶς, καὶ καταπίῃ ἡμᾶς θάνατος, ὁ διψῶν ἡμᾶς, καὶ σατὰν ὁ μισῶν ἡμᾶς· ἀλλ᾽ ἔγγισον ἡμῖν, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν Παίδων σου, τῶν ἐν Βαβυλῶνι ἀπαύστως ἀνυμνούντων σε, καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον, καὶ ἐκ ταύτης κραυγαζόντων σοι· Τάχυνον ὁ οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Κάθισμα τοῦ προφήτου.
Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Προφητείας τὴν χάριν πεπλουτηκώς, τῆς Παρθένου τὸν τόκον σκιαγραφεῖς, καὶ λύεις ὀνείρατα, τῶν κρατούντων σαφέστατα· ἐμβληθεὶς δὲ λάκκῳ ὡς μάρτυς ἐδίδαξας, παραδόξως μάκαρ, νηστεύειν τοὺς λέοντας· ὅθεν καταστρέψας, τῶν ἀθέων τὸ σέβας, τὸν δράκοντα ἔκτεινας, ἀριστεύσας λαμπρότατα, Δανιὴλ ἀξιάγαστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Τῶν Τριῶν Παίδων.

Τῆς Τριάδος εἰκόνα προφητικῶς, ἐξ ἀύλων χρωμάτων ἐν τῇ φλογί, Τρεῖς Νέοι διέγραψαν, τῷ καλάμῳ τῆς πίστεως· καὶ τὴν τοῦ Λόγου ἄκραν, εἰς γῆν συγκατάβασιν, μυστικῶς κατεῖδον, καὶ πᾶσιν ἐκήρυξαν· ὅθεν καὶ τὴν δρόσον, οὐρανόθεν λαβόντες, τοῦ Πνεύματος βρύουσι, τοῖς πιστοῖς τὰ χαρίσματα· διὰ τοῦτο βοήσωμεν· Δώρησαι Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν τοῖς δούλοις σου, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην αὐτῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ· χαῖρε κόρη καθέδρα βασιλική, κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε, χλαμὺς ἀλουργόχροε, τιμαλφέστατον τέμενος, ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε πόλι, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε ἔνδοξε νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Τοῦ προφήτου. ὨΙδὴ δ΄.
Ἐξ ὄρους κατασκίου.

Νόμον εὐσεβῶς, φυλάξας ὦ προφῆτα, τῆς ὄντως σοφίας, ἔγνως τὸν δοτῆρα, τὰ μυστικά σε διδάσκοντα καὶ βαθέα, καὶ τὰ ἐν σκότει σε φωτίζοντα.

Ἱερὰν ζωήν, βιώσας θεοφάντορ, ἐπιθυμιῶν ἀνὴρ προσηγορεύθης· ἀρρενωπῶς γὰρ τὰ πάθη καταπατήσας, πρὸς τὴν ἀγήρω μετετέθης ζωήν.

Ἡ ἐνοικοῦσα ἐν σοί, τοῦ Παρακλήτου χάρις, Δανιὴλ σε δεικνύει ὅλον φωτοφόρον, καὶ νικητὴν τῶν τυράννων καὶ βασιλέων, καὶ τῆς σοφίας καταγώγιον.

Θεοτοκίον.

Λίθον σε χειρός, τμηθέντα ἄνευ Λόγε, ὄρους προορᾷ, παρθένου Θεοτόκου, Δανιὴλ ὁ προφήτης ἀνακραυγάζων, καὶ ἀνυμνῶν σου τὴν θεότητα.

Τῶν ἁγίων Παίδων. Εἰσακήκοα, Κύριε.

Δανιὴλ ὁ σοφώτατος, ἐνθεαστικῶς τὸν νοῦν φωτιζόμενος, τὰ ἐνύπνια διέλυσε, τῶν αὐτοκρατόρων θείᾳ χάριτι.

Ἐπαστράπτει τοῖς θαύμασιν, ἡ ἐν τῇ καμίνῳ τῶν Παίδων ἄθλησις· τὸν γὰρ τύραννον ἐζώγρησαν, πρὸς ἐπίγνωσίν σου παντοδύναμε.

Συμφωνίας τὰ ὄργανα, καὶ τῆς μουσικῆς μέλη παναρμόνια, τοὺς γενναίους οὐ κατέθελξαν, καὶ χρυσῇ εἰκόνι οὐχ ὑπέκυψαν.

Θεοτοκίον.

Ὑμνῳδίαις πανύμνητε, οἱ ἐν Βαβυλῶνι Παῖδες γεραίρουσι, τὸν Υἱόν σου τὸν ὑπέρθεον, ὃν ἐν τῇ καμίνῳ ἐπεγίνωσκον.

Καταβασία.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός· δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ προφήτου. ὨΙδὴ ε΄. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

Ἀθλητικοὺς ἀγῶνας, τῆς προφητείας φαιδρύνας κηρύγματι, λάμπεις δι᾽ ἀμφοτέρων, θείας ἐπιπνοίας ἀνάπλεως.

Σοφὸς ἐδείχθης μάκαρ, ταῖς ὑπὲρ νοῦν τῆς σοφίας ἐλλάμψεσι, μέγιστε θεορρῆμον, Δανιὴλ καὶ πάντας ἐφώτισας.

(Νέον· ἐκτὸς ἀκροστιχίδος)

Ὡς συνετὸς τρισμάκαρ, τοῦ βασιλέως ἐνύπνια ἄδηλα, μόνος διερμηνεύσω, Δανιὴλ καὶ τοῦτον ἐξέπληξας.

Θεοτοκίον.

Μυσταγωγεῖ τοὺς τύπους, τῆς ἀπορρήτου σαρκώσεως ἄχραντε, τῆς ἐκ σοῦ τοῦ Ὑψίστου, Δανιὴλ ὁ προφήτης ὁ ἔνδοξος.

Τῶν ἁγίων Παίδων. Ἵνα τί με ἀπώσω.

Μυηθέντες τὸν νόμον, Σῶτερ οὐκ ἠρνήσαντο οἱ σοὶ θεράποντες, Δανιὴλ ὁ μέγας, σὺν Τρισὶ Νεανίαις θεόφροσιν· ἀλλ᾽ ἰσχὺν λαβόντες, τὴν παρὰ σοῦ τοῦ εὐεργέτου, τοὺς τυράννους ἀνδρείως ἐτρέψαντο.

Νοερῶς ἐμυεῖτο, Δανιὴλ φιλάνθρωπε τὰ σὰ μυστήρια· ἐπὶ γὰρ νεφέλης, ὡς υἱόν σε ἀνθρώπου ἐρχόμενον, τῶν ἐθνῶν ἁπάντων, οἷα κριτὴν καὶ βασιλέα, ἐθεώρει νοὸς καθαρότητι.

Ὡραιώθη ὦ Παῖδες, ὑπὲρ λίθον σάπφειρον ὑμῶν τὰ σώματα· ὡς αὐγὴ χρυσίου, εὐσεβείας τῷ ζήλῳ πυρ-

σεύετε, ἐμπεριπατοῦντες, χαρμονικῶς ἐν τῇ καμίνῳ, καὶ κροτοῦντες χορείαν τρισάριθμον.

Θεοτοκίον.

Δανιὴλ σε Παρθένε, ὄρος προδιέγραφε σαφῶς ὁ ἔνθεος· οἱ τριττοὶ δὲ Παῖδες, καθορῶντες τὴν φλόγα δροσίζουσαν, τὸν σὸν θεῖον τόκον, μελῳδικῶς ἀνευφημοῦσιν, ὡς Σωτῆρα καὶ κτίστην καὶ Κύριον.

Καταβασία.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Τοῦ προφήτου. ὨΙδὴ ς΄. Ὡς τὸν προφήτην.

Ἀγγελικὰς σὺ χορείας, ἐν φωτὶ λαμπροτάτῳ θεώμενος, μιμητὴς πανάριστος, τούτων ἐχρημάτισας, τοῦ παντάνακτος, ἐντρυφῶν ἐλλάμψεσι.

Σωτηριώδη τοῦ Λόγου, παρουσίαν μηνύων προήγγειλας, καὶ ναοῦ καθαίρεσιν, νόμου τε τὴν πλήρωσιν, καὶ τῆς χάριτος, ὑπὲρ νοῦν δωρήματα.

Θεοτοκίον.

Ἰδοὺ Παρθένος ἐν μήτρᾳ, ἐμφανῶς συλλαμβάνει Χριστὸν τὸν Θεόν· ἧς περ τὴν προτύπωσιν, ἐλλαμφθεὶς τῷ Πνεύματι, προεώρακε Δανιὴλ ὁ ἔνδοξος.

Τῶν ἁγίων Παίδων. Ἄβυσσος ἁμαρτιῶν.

Ἄρξαντες τῶν ψυχικῶν, παθημάτων τῇ δυνάμει τοῦ λόγου, χώρας ἐθνῶν Χαλδαίων, ἡγεμόνες γεγόνατε· οἶδε γὰρ ἡ ἀρετή, γέρα χαρίζεσθαι κεκτημένοις, ὦ τοῦ Δαυὶδ σοφοὶ ἀπόγονοι.

Νέκρωσιν ὁ Δανιήλ, ζωηφόρον ἐνδυσάμενος πάλαι, τὸν ὡς θεὸν Χαλδαίοις, δυσσεβῶς νομιζόμενον, ἀναιρεῖ διὰ τροφῆς, δράκοντα κάκιστον ἱερεῖς τε, τοὺς δυσμενεῖς σοφῶς ἀπέκτεινεν.

Θεοτοκίον.

Ἵλεών μοι τὸν κριτήν, ὡς Υἱόν σου Θεοτόκε παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτήν τε τῶν δεινῶν, Μῆτερ δυσώπησον· σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Καταβασία.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο, τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Κοντάκιον τοῦ προφήτου Δανιήλ.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Καθαρθεῖσα Πνεύματι ἡ καθαρά σου καρδία, προφητείας γέγονε φαεινοτάτης δοχεῖον· βλέπεις γάρ, ὡς ἐνεστῶτα τὰ μακρὰν ὄντα, λέοντας ἀποφιμοῖς δὲ βληθεὶς ἐν λάκκῳ· διὰ τοῦτό σε τιμῶμεν, προφῆτα μάκαρ Δανιὴλ ἔνδοξε.

Ὁ οἶκος.

Ἰησοῦν Χριστόν, τὸν ἀληθῆ Θεὸν ἡμῶν, οὗ τὴν θείαν ἔλευσιν τρανῶς προηγόρευσας, δυσώπει ἀπαύστως, τοὺς ἐν εὐφροσύνῃ τὴν θείαν ταύτην τελοῦντας μνήμην σου, καὶ πίστει τιμῶντάς σε, πειρατηρίων παντοίων σῴζεσθαι, καὶ ἁμαρτιῶν καὶ περιστάσεων, ὡς παρρησίαν θεόφρον ἔχων· καὶ ἐν ἀνοίξει τῶν ἐμῶν δίδου χειλέων σὲ ὑμνεῖν ἀκατάγνωστον λόγον, καὶ μηδόλως βδελύξει, προφῆτα μάκαρ, Δανιὴλ ἔνδοξε.

Συναξάριον.

Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ἁγίων Τριῶν Παίδων καὶ Δανιὴλ τοῦ προφήτου.

Στίχοι:

Ὕπαρ, Θεέ, βλέπει σε νῦν ἐπὶ θρόνου,
τμηθεὶς Δανιήλ, οὐκ ὄναρ, καθὼς πάλαι.
Εἰ μὴ θανεῖν Τρεῖς Παῖδες ἥρων ἐκτόπως,
ὡς τοῦ πυρὸς πρίν, ἦρχον ἂν καὶ τοῦ ξίφους.
Ἑβδομάτῃ δεκάτῃ Δανιὴλ τάμον, ὃς βλέπει μέλλον.

Οὗτος ὁ μακάριος Δανιὴλ ὁ Προφήτης ἦν ἐκ φυλῆς Ἰούδα, γένους τῶν ἐξεχόντων τῆς βασιλικῆς ὑπηρεσίας· ἐγεννήθη δὲ ἐν Βηθαρᾷ τῇ ἀνωτέρᾳ. Ἀλλ᾽ ἔτι νήπιος ὤν, ἦχθη ἐκ τῆς Ἰουδαίας αἰχμάλωτος εἰς τὴν Χαλδαίαν γῆν καὶ προεφήτευσεν ἔτη ἑβδομήκοντα. Προέλαβε δὲ τὴν Σάρκωσιν τοῦ Χριστοῦ ἔτη τετρακόσια ἑξήκοντα. Ἦν δὲ ἀνὴρ σώφρων, ὥς τε δοκεῖν τοὺς Ἰουδαίους εἶναι αὐτὸν σπάδοντα. Πολλὰ δὲ ἐπένθησεν ἐπὶ τὸν λαὸν καὶ ἐπὶ τὴν πόλιν Ἱερουσαλὴμ καὶ ἐν νηστείαις ἤσκησεν, ἀπὸ πάσης τροφῆς ἐπιθυμητῆς καὶ ἦν ξηρὸς ἐπὶ ἰδέαν, ἀλλὰ καὶ πάνυ ὡραῖος τῇ χάριτι τοῦ Ὑψίστου.

Οἱ δὲ τρεῖς Παῖδες, κατὰ τὴν ἱστορίαν, ὑπῆρχον ἐκ τῆς ἁγίας πόλεως Ἱερουσαλήμ, Ἐζεκίου πατρὸς καὶ μητρὸς Καλλινίκης. Ὅς τις Ἐζεκίας ἐτόλμησεν εἰπεῖν τῷ Θεῷ, φυλάξαι τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ, καὶ προσθήκην ἔλαβε τῆς ζωῆς ἔτη δεκαπέντε. Τῆς δὲ Ἱερουσαλὴμ ὑπὸ τοῦ βασιλέως Ἀσσυρίων Ναβουχοδονόσορ πολιορκηθείσης, ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα μετὰ Δανιὴλ τοῦ Προφήτου, καὶ καθίστανται ἐπιστάται τῶν τοῦ βασιλέως πραγμάτων διὰ τὴν ἀρετὴν αὐτῶν. Εἶτα, ἐξουδενώσαντες τὴν εἰκόνα ἣν ἐποίησε καὶ ἔστησε, καὶ μὴ προσκυνήσαντες, βάλλονται ἐν τῇ ἑπταπλασίως ἐκκαυθείσῃ καμίνῳ, ἐν ᾗ, τῇ τοῦ θείου Ἀγγέλου συγκαταβάσει δροσιζόμενοι, ἔψαλλον. Ἔνθα τὸ παράδοξον ὁ βασιλεὺς ἰδών, ὡμολόγησε μέγαν εἶναι Θεόν, τὸν ὑπ᾽ αὐτῶν ὑμνούμενον. Ἡ γὰρ κάμινος μετεποιήθη εἰς δρόσον καὶ ἔμειναν ἀβλαβεῖς.

Δανιὴλ δέ, καί τοι συμβιωτεύων αὐτοῖς, συναυλιζόμενός τε καὶ συνδιαιτώμενος καὶ τῆς τιμῆς αὐτοῖς αἴτιος γενόμενος, τῇ καμίνῳ οὐ συνεβλήθη· οὐδὲ γὰρ τοῦτο μαθεῖν ἐστιν ὑπὸ τῆς Γραφῆς, ὡς σιωπηθὲν ταύτῃ καὶ μεῖναν ἀπαρασήμαντον τάχα, ὡς ἐμοὶ δοκεῖ, καὶ τῇ ἀληθείᾳ τῶν εἰκότων λόγων οὐκ ἔξω, διὰ τὸ ἐπιτεθὲν *Βαλτάσαρ* ὄνομα, τῆς ὑπερεχούσης τιμῆς γνώρισμα. Ἵνα γάρ, παρὰ τοῖς θεοποιοῦσι τὸ πῦρ, κατὰ λογισμὸν τῶν ἑστώτων, μὴ τὸ παράδοξον τοῦ θαύματος δόξῃ πεποιηκέναι Βαλτάσαρ, ὁ αὐτῶν θεός, οὕτω καλούμενος, οἰκονομεῖται Δανιήλ, τὴν τοῦ θεοῦ προσηγορίαν λαβών, τὴν πρὸς τὸ πῦρ ἀπολειφθῆναι εἰσέλευσιν καὶ διαδρᾶναι· οὔτε μὴν τὴν τοῖς περὶ τὴν κάμινον διηγήμασιν ἀναγράφεται. Οἱ δὲ ἅγιοι τρεῖς Παῖδες, μετὰ τὴν ὑπὲρ νοῦν ἐκ τοῦ πυρὸς σωτηρίαν, ἐφ᾽ οἷς εἶχον πάλιν ἀποκαταστάντες καὶ πᾶσαν τὴν ζωὴν ἐπίδοξον διαγαγόντες, ἐν εἰρήνῃ καὶ αὐτοὶ σὺν τῷ Δανιὴλ τελευτῶσι.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων μαρτύρων Πατερμουθίου, Κόπρι καὶ Ἀλεξάνδρου, μαρτυρησάντων ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Καὶ μνήμη τοῦ ὁσίου καὶ ἀειμνήστου ὁμολογητοῦ Δουναλέ, τοῦ μετονομασθέντος Στεφάνου.

Στίχοι

Στολαῖς Στέφανος ἀρετῶν ἐστεμμένος,
λαμπρός τις ἥκει πρὸς στεφάνους τοὺς ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Ἰάκχου.

Στίχοι

Ἴακχε, κρατύνθητι· καὶ τμηθεὶς κάραν,
τμηθεῖσιν ἐγγράφηθι, καὶ στέφου κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Διονυσίου ἀρχιεπισκόπου Αἰγίνης τοῦ θαυματουργοῦ, τοῦ ἐκ τῆς νήσου Ζακύνθου.

Στίχοι

Λιπὼν τὰ τῆς γῆς, νῦν κατοικεῖ ἐν πόλῳ,
κλέος Ζακύνθου Διονύσιος νέος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τοῦ προφήτου.
Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Νόμῳ προφῆτα πεφραγμένος, οὐκ ἠνέσχου τοῦ χρανθῆναι παρανόμως· ἀλλ᾽ ἐνθέως τὸν νοῦν, λαμπόμενος ἐβόας· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Πάντας ἐκπλήττει σου τὸ θαῦμα· ὡς προφήτῃ γὰρ προφήτης σοι παρέστη, μεταρσίως τροφήν, κομίζων σοι καὶ μέλπων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἔνδον τοῦ λάκκου καθειργμένος, καὶ τοῖς λέουσι πρὸς βρῶσιν τεθειμένος, διεσώθης Θεοῦ, σκεπάσαντός σε μάκαρ, Εὐλογητὸς εἶ μέλποντα, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥεῖθρα ἀφθόνως ἀναβλύζεις, ἰαμάτων ὦ παρθένε Θεοτόκε· Δανιὴλ γὰρ τρανῶς, ἑώρακέ σε ὄρος, ἐξ οὗ Σωτὴρ ἀνέτειλεν, ὁ Θεὸς ὁ εἰς αἰῶνας.

Ἄλλος. Παῖδες θεοσεβεῖς ἐν Βαβυλῶνι.

Ἦχος θεοφιλὴς ἐμελῳδεῖτο, ἐκ μέσου πυρὸς τῷ Παντοκράτορι· Ἀζαρίας γὰρ θεῖον χορὸν συστησάμενος, τὴν ᾠδὴν σὺν τούτοις ἀνέμελπεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Λύρα Νεανιῶν ἐθεολόγει, τὸν πάντων Θεὸν καὶ Παντοκράτορα, τὸν αὐτοῖς ἐν καμίνῳ, τρανῶς ὀπτανόμενον, καὶ ᾠδὴν ἀνέμελπον λέγοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Τρεῖς τοὺς ἐν τῇ καμίνῳ βεβλημένους, εἰδὼς ὁ κρατῶν ὡς ἐθεάσατο, τοῦ τετάρτου τὴν θέαν, Υἱὸν προηγόρευσε, τοῦ Θεοῦ, καὶ πᾶσιν ἐτράνωσεν, Εὐλογητὸς ἐκβοῶν, ὁ τῶν πατέρων Θεός.

Θεοτοκίον.

Ἔχων λελαμπρυσμένον θείᾳ αἴγλῃ, τὸν νοῦν Δανιὴλ θεομακάριστε, τῆς Παρθένου τὸν τόκον, σαφῶς προτεθέασαι, μυστικαῖς εἰκόσι μορφούμενον, Εὐλογητὸς ἐκβοῶν, ὁ τῶν πατέρων Θεός.

Καταβασία.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ᾽ ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τοῦ προφήτου. Ὠδὴ η΄. Οἱ θεορρήμονες.

Ἱεροφάντωρ ἐδείχθης ὦ προφῆτα, καὶ πρακτικῇ θεωρίᾳ τοῖς ἀσωμάτοις συνέψαλλες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σὲ παμμακάριστε πάντες εὐφημοῦμεν, καὶ τῇ σεπτῇ πανηγύρει, σοῦ γεγηθότες κραυγάζομεν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Τὴν ὑπερθαύμαστον κόρην θεηγόρε, τυπικοῖς ἐν συμβόλοις, κατανοήσας ἐκραύγαζες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῶν ἁγίων Παίδων. Ἑπταπλασίως κάμινον.

Τὴν Ἀβραὰμ εὐγένειαν, διασῴζειν σπουδάζοντες, τὴν οἰκειοτάτην, πρὸς αὐτὸν ἐκτήσασθε, κρηπῖδα τῆς πίστεως, καὶ τῆς ἐλπίδος ὅσιοι, καὶ ὑπομονὴν καὶ πειρασμῶν καρτερίαν, βοῶντες ἀνενδότως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Οἱ ὡς φωστῆρες λάμποντες, καὶ τὴν γῆν οὐρανώσαντες, καὶ τῆς εὐσεβείας φωτισμῷ πυρσεύοντες, παγκόσμιον στήσαντες, χοροστασίαν ᾄδουσι, σοὶ τῷ εὐεργέτῃ, καὶ δεσπότῃ τῶν ὅλων· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Νεανικῶς οἱ σβέσαντες, ἐπηρμένην τὴν κάμινον, καὶ τὰς τῶν λεόντων ἀκωκὰς πεδήσαντες, Δαυὶδ οἱ ἀπόγονοι, νῦν γεγηθότες ψάλλουσι· Τὸν ἐκ πειρασμῶν, ἐκσεσωκότα Δεσπότην, οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μυσταγωγεῖται πάναγνε, Δανιὴλ ὁ σοφώτατος, καὶ προζωγραφοῦσι Παῖδες Τρεῖς τὴν γέννησιν, τὴν σὴν οἱ θεόφρονες, διὰ συμβόλων βλέποντες, τὸν ἐκ τῆς γαστρός σου, προελθόντα ἀφράστως· ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς θεότητος, Παρθένου ἦν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ προφήτου. Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἐδρέψω σου τῶν πόνων, τὰς ἐπικαρπίας, ἐν οὐρανοῖς σὺν προφήταις χορεύων ἀεί, περὶ τὸν ὕψιστον θρόνον, τοῦ Παντοκράτορος.

Φωτὶ τῷ τρισηλίῳ, νῦν στεφανηφόρος, τῶν ἐφετῶν ἀκροτάτῳ παρίστασαι, ταῖς ἀσωμάτων χορείαις συναγαλλόμενος.

(Νέον· ἐκτὸς ἀκροστιχίδος)

Ἐυνήφθης ταῖς χορείαις, προφητῶν δικαίων, τῶν πρὸ νόμου καὶ ἐν νόμῳ καὶ χάριτι, ὦ Δανιὴλ ὡς προφήτης πανάριστος.

Θεοτοκίον.

Ὡραῖόν σου τὸ κάλλος, οὗ νῦν ἀπολαύεις· τὴν γὰρ πανύμνητον κόρην προφῆτα σοφέ, διὰ συμβόλων μηνύειν πᾶσιν ἠξίωσαι.

Τῶν ἁγίων Παίδων. Ὁ αὐτός.

Ἐφθάσατε τὸ τέλος, τὸ πεποθημένον, καὶ ὀρεκτῶν ἀκροτάτῳ παρέστητε, ἐν οὐρανίοις θαλάμοις, Παῖδες πανόλβιοι.

Γηθόμενοι τὸ δράγμα, τῆς μετὰ δακρύων, καλῆς ὑμῶν γεωργίας κομίζεσθε, τῆς ἀφθαρσίας τὸν στάχυν καρποφορήσαντες.

Ἀνέτειλε λαμπρότης, νῦν ὑμῖν ἀξίως, καὶ εὐφροσύνη καρδίας ἐξήνθησεν· ἔνθεν ἀπέδρα γὰρ λύπη κατεσκηνώσατε.

Θεοτοκίον.

Νομὴν τὴν τοῦ θανάτου, ἔστησας Παρθένε, τὸν ζωοδότην τεκοῦσα καὶ Κύριον, ζωοποιοῦντα τοὺς πίστει σὲ μεγαλύνοντας.

Καταβασία.

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ σπήλαιον, θρόνον χερουβικὸν τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάρια.

Τοῦ προφήτου (ἐκ τῆς ἀναπληρώσεως).
Ἦχος γ΄. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἀνὴρ τῶν ἐπιθυμιῶν, ἐχρημάτισας ὄντως· τοῦ Λόγου γὰρ τὴν σάρκωσιν, προκατήγγειλας πρῶτος, τοὺς θῆρας καθυπέταξας, καὶ τὴν πλάνην ἔπαυσας, τῆς Βαβυλῶνος καὶ πᾶσαν, τῶν δαιμόνων τὴν ὀφρύν, κατηδάφισας Χριστοῦ τῇ συμμαχίᾳ προφῆτα.

Ἕτερον, τῶν Τριῶν Νέων. Ὅμοιον.
(ἐκ τῆς ἀναπληρώσεως)

Τὸν τόκον τὸν ἀπόρρητον, τῆς πανάγνου Παρθένου, τυποῦντες οἱ τρισάριθμοι, τῆς ἁγίας Τριάδος, τὴν φλόγα κατεπάτησαν, τοῦ πυρὸς δροσούμενοι, ἀγγέλου συγκαταβάσει, ὁ κλεινὸς Ἀνανίας, Ἀζαρίας, Μισαήλ· οὓς πίστει ἀνευφημοῦμεν.

Ἕτερον τῶν ἁγίων (ἐκ τοῦ μηναίου).
Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.

Θ᾽ ἐν προφήταις μέγιστος, Δανιὴλ νῦν τιμάσθω· Χριστὸν γὰρ τὸν Θεὸν ἡμῶν, εἶδε λίθον τμηθέντα, ἄνευ χειρῶν ἀπὸ ὄρους, τῆς ἁγνῆς Θεοτόκου· σὺν τούτῳ εὐφημείσθωσαν, καὶ οἱ τρεῖς Παῖδες οὕς περ, σῴζει πυρός, ἀβλαβεῖς καμίνου τύπος Παρθένου, ὁ θεῖος καὶ ἀπόρρητος, δι᾽ οὗ σέσωσται κόσμος.

Θεοτοκίον, ὅμοιον.

Μυσταγωγεῖται πάναγνε, διὰ Πνεύματος θείου, Δανιὴλ ὁ σοφώτατος· καὶ προγράφουσι πίστει, Ἀβραμιαῖοι Τρεῖς Παῖδες, σοῦ τὸν ἄσπορον τόκον· ὁ ὢν γὰρ τῇ Θεότητι,

ἀπερίγραπτος Λόγος, ἐκ σοῦ σαρκί, θέλων περιγράφεται Θεοτόκε, ἐν Βηθλεὲμ τικτόμενος, εἰς βροτῶν σωτηρίαν.

Εἰς τοὺς αἴνους

Ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια (ἅπαντα ἐκ τῆς ἀναπληρώσεως).

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! Πνεύματος θείου πλησθείς, ἐκ παιδὸς ὁ θαυμάσιος, Δανιὴλ διήλεγξε, τοὺς πρεσβύτας καὶ ἔσωσεν, ἀδίκου δίκης, Σωσάνναν σώφρονα, κρίσει δικαίᾳ καὶ ἐπανέστρεψε, πόνον ὡς γέγραπται, ἀδικίας δόλον τε, τὸν ἑαυτοῦ, σφῶν ταῖς κάραις ἄριστα, καὶ ἐνδικώτατα.

Ὢ τοῦ παραδόξου θαύματος! τῇ τῶν σπερμάτων τροφῇ, Ἀβραὰμ οἱ ἀπόγονοι, Δανιὴλ ὁ ἔνδοξος, καὶ Τρεῖς Παῖδες τρισόλβιοι, ἁβροδιαίτων σαφῶς ἐδείχθησαν, Βαβυλωνίων πάντων λαμπρότεροι, ὄντες αἰχμάλωτοι, δόξῃ τιμιώτεροι τῶν δεσποτῶν, καὶ σεβασμιώτεροι, αὐτῶν γεγόνασιν.

Ὢ τοῦ παραδόξου θαύματος! Προαγνισθέντες ψυχάς, ἀρεταῖς καὶ τὰ σώματα, Παῖδες Τρεῖς οἱ ἅγιοι, Δανιήλ τε ὁ πάνσοφος, οἱ μὲν τὴν φλόγα πυρὸς ἐπάτησαν, ὁ δὲ θηρίων στόματα ἔφραξε· καὶ προεδήλωσαν τοῦ Χριστοῦ τὴν σάρκωσιν, ἐν τῷ πυρί, τῷ ἀχειροτμήτῳ τε λίθῳ σαφέστατα.

Στόματα λεόντων ἔφραξας, καὶ πονηρὰς τῶν ἐχθρῶν, μηχανὰς ἀπεσκεύασας, καὶ γλῶσσας ἐπέδησας, δυσφημούντων πρὸς Κύριον, καὶ εἰς ἀγάπην τούτους διήγειρας, τῶν εὐσεβούντων Δανιὴλ στόματα· ὅθεν ὡς κήρυκα καὶ

προφήτην ἅπαντες, τῶν τοῦ Θεοῦ μυστηρίων σέβοντες, πιστῶς γεραίρομεν.

Μύστα Δανιὴλ φερώνυμε, ἐν θεοπτίᾳ ὁρῶν, ἐπὶ θρόνου καθήμενον, ἡμερῶν ὑπάρχοντα, Παλαιὸν Παντοκράτορα, ἐκ μυριάδων περικυκλούμενον, ἐκ χιλιάδων τε λατρευόμενον, ὕμνῳ ὡς ἅγιον, τρὶς ἀνευφημούμενον, ὡς ποιητήν, χρόνῳ δὲ ὑπέρτερον, καὶ τῶν αἰώνων Θεόν.

Λίθον ἐξ ὄρους ἐρχόμενον, ἄνευ χειρὸς τὸν Χριστόν, ἐκ Παρθένου προήγγειλας, Δανιὴλ φερόμενον· καὶ εἰς νοῦν κατενόησας, τὴν αὐτοῦ θείαν δευτέραν ἔλευσιν· ὁρᾷς ἐκ θρόνου πῦρ προερχόμενον, τὸ καταφλέγον φεῦ! τοὺς ἀνόμους ἅπαντας· τοὺς δὲ πιστούς, θείαν πρὸς ἀπόλαυσιν ἄγει ὁ Δίκαιος.

Δόξα. Ἦχος πλ. β΄.

Ἁπλουσίως παρὰ Θεοῦ, ἐκχυθεῖσά σοι χάρις, Δανιὴλ θεόπνευστε, τοὺς πρεσβυτέρους τῶν Ἑβραίων διήλεγξε, τοὺς βασιλεῖς τῶν ἐθνῶν ἐξέπληξε, τοὺς σοφοὺς τῆς Βαβυλῶνος κατῄσχυνε, τῶν Περσῶν καὶ Μήδων τὰ βδελύγματα ἠφάνισε, τοὺς ἀπατεῶνας ἐξωλόθρευσε, τῶν λεόντων τὰ στόματα ἔφραξε, προφήτην ἀεροβάτην ἀνέδειξε, τοῖς τοῦ κόσμου τὰ ἐν κόσμῳ γενησόμενα ἐδήλωσε, τοῖς δὲ πιστοῖς, ἀμφοτέρων τὰ μυστήρια, τῶν ἐπιφανειῶν τοῦ Χριστοῦ, σαφέστατα προεκήρυξε. Διό περ νῦν ἐν τῇ πρώτῃ παρουσίᾳ προϋπαντῶντες αὐτῷ διὰ τῆς σῆς πανηγύρεως, αἰτοῦμέν σε πρεσβεύειν ἀεὶ ὑπὲρ ἡμῶν, ὡς ἀξιωθείημεν, ὑπαντῆσαι αὐτῷ ἐν νεφέλαις, ἐν τῇ δευτέρᾳ φρικτῇ ἐλεύσει αὐτοῦ, καὶ δοξάζομεν αὐτῷ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.

Τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης, ἐκ παρθενικῆς νηδύος ἀνίσχειν μέλλοντος, ὡς ἀστέρες παμφαεῖς προλάμπουσιν ἡμῖν, ἐκ τῆς καμίνου τοῦ πυρός, οἱ τῆς Τριάδος ἰσάριθμοι Νεανίαι, τὸ ξένον τοῦ μυστηρίου ἐν ἑαυτοῖς προτυπώσαντες· σὺν τούτοις δὲ καὶ Δανιήλ, ὁ λαμπρότατος προφήτης, προαυγάζει τοῖς πέρασι, τῷ προρρήσεως φωτί, τὸν Χριστὸν προενδεικνύμενος λίθον ἀχειρότμητον, ἐκ τῆς Παρθένου προερχόμενον, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.



ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ τυπικά, καὶ εἰς τοὺς μακαρισμοὺς ἡ γ΄ καὶ ἡ ς΄ ᾠδὴ τοῦ προφήτου. Εἰ δὲ βούλει, ἀντὶ τῆς ς΄ ᾠδῆς τοῦ ὄρθρου ψάλλε τὰ κάτωθι.

Τροπάρια τῆς ς΄ ᾠδῆς. Ἰλάσθητί μοι, Σωτήρ.

Ἁγνείας ὡς ἐραστής, ἁγνῆς Παρθένου τὴν κύησιν, προήγγειλας Δανιήλ, πλήρης θείου Πνεύματος, ὑπάρχων πανόλβιε, τῶν δὲ βασιλέων διηρμήνευσας ἐνύπνια.

Νηστεύειν πείθεις σὺν σοί, ἐν λάκκῳ μάκαρ τοὺς λέοντας· καὶ βρῶσιν δι᾽ Ἀββακούμ, ἐδέξω πανόλβιε· βρῶσιν δὲ τοῖς λέουσι δέδωκας δικαίως, τοὺς ἀδίκους συκοφάντας σου.

Ξυνέσεως ἐμπνευσθείς, τοῦ θείου Πνεύματος ἔνδοξε, ἀνὴρ ἐπιθυμιῶν, φερωνύμως κέκλησαι, Δανιὴλ θεσπέσιε· ὅθεν σου τὴν μνήμην ἑορτάζομεν γηθόμενοι.

Θεοτοκίον.

Ἰδοὺ Παρθένος Θεόν, ἐν μήτρᾳ ξένως συνέλαβεν, ὡς Δανιὴλ ὁ σοφός, ἐλλαμφθεὶς τῷ Πνεύματι, πάλαι προεώρακεν· ὅθεν ὡς μητέρα τοῦ Ὑψίστου μακαρίζομεν.

Ἀπόστολος.

Προκείμενον. Ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχος. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.
(ια΄ 33 - ιβ΄ 2)

Ἀδελφοί, οἱ ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι᾽ ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.

Ἀλληλούια. Ἦχος δ΄.

Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν.

Στίχος. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων,
καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν.
(ια΄ 44-53)

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ· Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. Ὁ δὲ εἶπε· Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. Ἄρα μαρτυρεῖτε καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα. Διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν· Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν, ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης, ἀπὸ τοῦ αἵματος Ἄβελ ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. Οὐαὶ ὑμῖν τοῖς νο-

μικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.

Κοινωνικόν

Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις· ἀλληλούια.



Ὁ προφήτης Δανιήλ.
(Ἐκ τοῦ Ἱεροῦ Ναοῦ τοῦ Πρωτάτου).

ΤΥΠΙΚΟΝ

1. Εἰ τύχοι ἡ 17η Δεκεμβρίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ ἀκολουθία τοῦ προφήτου Δανιὴλ καὶ τῶν σὺν αὐτῷ Τριῶν Νέων ψάλλεται ὡς διαλαμβάνεται ἐνταῦθα. Ἔνθα δὲν πανηγυρίζονται οἱ ἅγιοι, εἰς μὲν τὸν ἑσπερινὸν λέγονται μόνον τὰ 6 πρῶτα κεκραγάρια προσόμοια (δυνατὸν νὰ παραλειφθοῦν καὶ τὰ ἀναγνώσματα, εἰ δόξῃ τῷ προεστῶτι), εἰς δὲ τοὺς αἴνους λέγονται τὰ προσόμοια εἰς 4 μόνον. Εἰς τὴν λειτουργίαν εὐαγγέλιον τὸ ἐνταῦθα παρατιθέμενον ἢ τὸ τῆς Πέμπτης τῆς ζ΄ ἑβδομάδος Λουκᾶ.

2. Εἰ τύχοι ἡ 17η Δεκεμβρίου ἐν Κυριακῇ, εἰς τοὺς γεραίροντας τὴν μνήμην τοῦ προφήτου Δανιὴλ ναοὺς ἡ παροῦσα ἀκολουθία συμψάλλεται μετὰ τῆς ἀναστασίμου καὶ τῆς ἀκολουθίας τῆς Κυριακῆς τῶν προπατόρων, κατὰ τὴν ἀνάλογον τυπικὴν διάταξιν τῆς 12ης Δεκεμβρίου, ὡς ἐξῆς.

3. Εἰς τὸν ἑσπερινόν. Μετὰ τὸν προοιμιακὸν καὶ τὸ α΄ κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ «Κύριε, ἐκέκραξα» ἀναστάσιμα 4, τῶν προπατόρων 3 «Τῶν προπατόρων σήμερον, πιστοὶ» καὶ τοῦ προφήτου ἕτερα 3 «Ὁ λαμπρότατος ἥλιος», Δόξα, «Τοὺς πρὸ τοῦ νόμου πατέρας», Καὶ νῦν, τὸ α΄ θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, «Φῶς ἱλαρόν», τὸ προκείμενον, καὶ τὰ ἀναγνώσματα ἐκ τῆς προφητείας τοῦ Δανιήλ. Εἰς τὰ ἀπόστιχα τὰ ἀναστάσιμα στιχηρά, Δόξα, «Τῶν προπατόρων τὸ σύστημα», Καὶ νῦν, τοῦ προφήτου

«Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν» (ζήτει ἐνταῦθα εἰς τὸ Καὶ νῦν τῶν ἀποστίχων). Ἀπολυτίκια τὸ ἀναστάσιμον, Δόξα, «Μεγάλα τὰ τῆς πίστεως», Καὶ νῦν, «Ἐν πίστει τοὺς προπάτορας».

4. Εἰς τὸ μεσονυκτικόν. Μετὰ τὸν ν΄ψαλμόν, ὁ τριαδικὸς κανὼν τοῦ ἤχου, τὰ διὰ τὴν λιτὴν στιχηρὰ ἰδιόμελα τοῦ προφήτου (τὸ ἰδιόμελον «Ὄργανον τοῦ Πνεύματος» ἄνευ τοῦ Δόξα, τὸ δὲ ὁμόηχον αὐτοῦ προεόρτιον θεοτοκίον καταλιμπάνεται, Δόξα, τὸ δοξαστικὸν τῶν αἴνων τοῦ προφήτου «Ἡ πλουσίως παρὰ Θεοῦ», Καὶ νῦν, τὸ προεόρτιον «Τοῦ νοητοῦ ἡλίου»), τὰ τριαδικὰ «Ἄξιόν ἐστι», τρισάγιον κλπ. καὶ τὸ ἀπολυτίκιον τῶν ἁγίων «Μεγάλα τὰ τῆς πίστεως κατορθώματα».

5. Εἰς τὸν ὄρθρον. Εἰς τὸ «Θεὸς Κύριος» τὰ ἐν τῷ ἑσπερινῷ ἀπολυτίκια. Τὰ ἀναστάσιμα καθίσματα (ἀλλ᾽ εἰς τὴν α΄ στιχολογίαν εἰς τὸ Καὶ νῦν λέγομεν τὸ θεοτοκίον τοῦ ἀναστασίμου ἀπολυτικίου), καὶ τὰ μετὰ τὸν πολυέλεον καθίσματα τῶν ἁγίων «Τοὺς τὴν θείαν μνήμην σου» κλπ.. Τὰ εὐλογητάρια, ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου. Ἡ συνήθης τάξις τοῦ ἀναστασίμου ἑωθινοῦ Εὐαγγελίου. Κανόνες, ὁ ἀναστάσιμος καὶ οἱ δύο τῆς Κυριακῆς τῶν Προπατόρων ἐκ τοῦ μηναίου (ὁ πρῶτος κανὼν τῆς Κυριακῆς τῶν Προπατόρων εἶναι ὁ δεύτερος τῆς 17ης Δεκεμβρίου ἀναφερόμενος εἴς τε τὸν προφήτην Δανιὴλ καὶ τοὺς Τρεῖς Παῖδας). Ἀπὸ γ΄ ᾠδῆς ἡ ὑπακοὴ «Εἰς δρόσον τοῖς παισὶ» καὶ τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου. Ἀφ᾽ ς΄ ᾠδῆς τὸ κοντάκιον μετὰ τοῦ οἴκου τοῦ προφήτου (ἐκ τῆς φυλλάδος), τὸ συναξάριον τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τῆς Κυριακῆς. Καταβασίαι οἱ εἱρμοὶ «Χριστὸς γεννᾶται». Στιχολογοῦμεν «Τὴν τιμιωτέραν». Εἰς

τὰ ἐξαποστειλάρια «Ἅγιος Κύριος», τὸ ἀναστάσιμον, τῶν προπατόρων «Πατέρων μνήμην σήμερον», τοῦ προφήτου «Ὁ ἐν προφήταις μέγιστος» καὶ τὸ θεοτοκίον αὐτοῦ «Μυσταγωγεῖται, πάναγνε». Εἰς τοὺς αἴνους στιχηρὰ ἀναστάσιμα 4, καὶ τοῦ προφήτου προσόμοια 4, μὲ στίχους εἰς τὰ δύο τελευταῖα α) «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ», β) «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος», Δόξα, τῶν Προπατόρων «Δεῦτε ἅπαντες πιστῶς πανηγυρίσωμεν», Καὶ νῦν, «Ὑπερευλογημένη». Δοξολογία μεγάλη, «Σήμερον σωτηρία» ἢ «Ἀναστὰς ἐκ τοῦ μνήματος».

6. Εἰς τὴν λειτουργίαν. [Ἂν ψαλοῦν τυπικά, εἰς τοὺς μακαρισμοὺς 4 τροπάρια τοῦ ἤχου καὶ ἡ ς΄ ᾠδὴ τοῦ προφήτου Δανιὴλ εἰς 4· εἰ δ᾽ ἄλλως] τὰ συνήθη ἀντίφωνα τῆς λειτουργίας. Μετὰ τὴν εἴσοδον, ἀπολυτίκια τὸ ἀναστάσιμον, «Ἐν πίστει τοὺς προπάτορας», «Μεγάλα τὰ τῆς πίστεως» καὶ τοῦ ναοῦ, [Δόξα, Καὶ νῦν,] τὸ κοντάκιον «Ἡ παρθένος σήμερον τὸν προαιώνιον Λόγον». Ἀπόστολος – μετὰ τοῦ προκειμένου αὐτοῦ– τῶν ἁγίων, ὃν ζήτει τῇ Κυριακῇ τῶν ἁγίων Πάντων, «Ἀδελφοί, οἱ ἅγιοι Πάντες» (Εβρ. ια΄ 33 - ιβ΄ 2). Ἀλληλουιάριον τῆς Κυριακῆς τῶν προπατόρων. Εὐαγγέλιον: τῶν προπατόρων, Κυριακῆς ια΄ Λουκᾶ, «Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα» (Λκ. ιδ΄ 16-24). «Ἄξιόν ἐστιν». Κοινωνικὸν «Αἰνεῖτε τὸν Κύριον» [καὶ «Ἀγαλλιᾶσθε, δίκαιοι»].



Παρατηρήσεις ἐπὶ τῆς παρούσης ἀκολουθίας

Εἰς τὴν 17ην Δεκεμβρίου ἄγεται ἡ μνήμη τοῦ προφήτου Δανιὴλ καὶ τῶν σὺν αὐτῷ Τριῶν Παίδων, ἤ τοι νεανιῶν. Ἡ ἐν τῷ μηναίῳ ἀκολουθία αὐτῶν ὅμως εἶναι μὴ ἑορτάσιμος. Τὴν ἔλλειψιν ἑορτασίμου ἀκολουθίας πρὸς τιμὴν ἑνὸς τῶν μεγαλειτέρων θεοπνεύστων προφητῶν τῆς Παλαιᾶς Διαθήκης ἔρχεται νὰ θεραπεύσῃ ἡ παροῦσα ἀκολουθία, ἥτις εἶναι ἡ ἀκολουθία τοῦ μηναίου, ἁρμοδίως ὅμως συμπεπληρωμένη ἐξ ἁγιορειτικοῦ κώδικος ὑπ᾽ ἀριθμὸν 171 (συμφώνως μὲ τὴν καταλογογράφησιν τοῦ μοναχοῦ πατρὸς Παταπίου).

Ὁ κῶδιξ φέρει τὸν τίτλον *ΑΚΟΛΟΥΘΙΑΙ πλήρεις καὶ ἐλλείποντα εἴς τινων ἁγίων ἑορτάς.* Εἰς τὴν σελίδα τίτλου τοῦ κώδικος προστίθεται πληροφοριακῶς ὅτι αἱ περιεχόμεναι ἀκολουθίαι *ἐξήχθησαν ἐκγραφεῖσαι ἐκ τῶν τε ἐν Μετεώροις μοναστηρίοις τῆς Θεσσαλίας καὶ Σιναίῳ Ὄρει καὶ Ἄθῳ ἀρχαίων χειρογράφων, μετεγράφησαν δὲ καὶ ἐτέθησαν εἰς τάξιν ἐν ἔτει 1892, ἐν τῷ Σπηλαίῳ τοῦ ἁγίου Ἀθανασίου τῆς Μ<εγίστης> Λαύρας ἐν Ἁγίῳ Ὄρει Ἄθῳ, παρὰ Χαρίτωνος ἱερομονάχου καὶ πνευματικοῦ Παπαδοπούλου, καταγομένου ἐκ τοῦ χωρίου Κάτω Μέρτσιον, τῶν Τρικκάλων τῆς Θεσσαλίας.*

Κατὰ τὰς τελευταίας δεκαετίας τοῦ προηγουμένου αἰῶνος νεώτεροι ἐπιμεληταὶ τῶν μηναίων, ἀδαεῖς περὶ τὴν ἐκκλησιαστικὴν τάξιν καὶ τὸ τυπικὸν τῶν ἱερῶν ἀκολουθιῶν, εἰς τὴν 17ην Δεκεμβρίου προσέθεσαν αὐτοβούλως καὶ αὐθαιρέτως τροπάρια ἐκ τῆς ἀκολουθίας τοῦ ἐν ὁσίοις πατρὸς ἡμῶν Διονυσίου τοῦ ἐκ Ζακύνθου, οὗ ἡ ἱερὰ μνήμη ὡσαύτως ἄγεται κατὰ τὴν 17ην Δεκεμβρίου. Ἡ προσθήκη ὅμως τῶν τροπαρίων τοῦ ὁσίου εἰς τὴν ἤδη ὑπάρχουσαν ἀκολουθίαν τοῦ μηναίου ἀφ᾽ ἑνὸς μὲν ἠλλοίωσε τὴν κατὰ τὰ ἀπ᾽ αἰῶνος θέσμια τῆς ὀρθοδόξου λατρείας τάξιν τῆς ἡμέρας, ἀφ᾽ ἑτέρου δὲ ἐγένετο μὲ τοσοῦτον παράτυπον τρόπον, ὥστε κατεστράφη πᾶσα ἔννοια σειρᾶς καὶ τάξεως, καὶ κατέστη πάντῃ ἀδύνατος ἡ διεξαγωγὴ τῶν ἀκολουθιῶν τῆς ἡμέρας· οἷον εἰς μὲν τὸν ἑσπερινὸν παρατίθενται 10 κεκραγάρια στιχηρὰ μετὰ δύο δοξαστικῶν καὶ 5 προσόμοια ἀποστίχων μετὰ δύο ὡσαύτως δοξαστικῶν, εἰς δὲ τὸν ὄρθρον παρατίθενται πρῶτον ἀπόστιχα διὰ τοὺς αἴνους, ἄρα προηγεῖται ἡ μικρὰ δοξολογία χῦμα, καὶ εἶτα ὁρίζεται μεγάλη δοξολογία! Καὶ ταῦτα εἶναι ἐλάχιστα μόνον δείγματα ἐκ τῶν γενομένων αὐθαιρεσιῶν, ἐνῷ δὲν θέλω νὰ ἀναφέρω ἐνταῦθα καὶ τοὺς ἀρχαίους ὕμνους τῆς ἀρχικῆς ἀκολουθίας, τοὺς ὁποίους οἱ ἀνώνυμοι καὶ ἀνεύθυνοι ἐπιμεληταὶ ἀνοσίως ἀφῄρεσαν.

Αὐτὴ ἡ παράτυπος ἀκολουθία, ἢ μᾶλλον εἰπεῖν ἀνακολουθία, εὑρίσκεται δυστυχῶς σήμερον εἰς τὰ ἐν χρήσει μηναῖα κατὰ τὴν 17ην Δεκεμβρίου. Μόνον εἰς τὸ μηναῖον Δεκεμβρίου ἐκδόσεως τῆς Ἀποστολικῆς Διακονίας διασῴζεται ἡ ἀρχικὴ καὶ ὀρθὴ ἀκολουθία τῆς ἡμέρας, ἡ ὁποία προβλέπεται ὑπὸ τῶν ἀρχαίων ἐκκλησιαστικῶν τυπικῶν τῆς ἐν Ἰεροσολύμοις Λαύρας τοῦ ἁγίου Σάββα καὶ τῶν ἐν Ἄθῳ ἱερῶν μονῶν, ἑπομένως δὲ αὕτη μόνον ἐκ τῆς ὡς ἄνω

ἐκδόσεως ὀφείλει νὰ ψάλλεται εἰς τοὺς ἱεροὺς ναούς. Ἐκ τῆς αὐτῆς ἐκδόσεως λαβόντες καὶ ἡμεῖς τὴν ἀκολουθίαν τῆς ἡμέρας προσεθέσαμεν ὅσα τὸ ὡς ἄνω ἀθωνικὸν χειρόγραφον ὁρίζει, καὶ παραδίδομεν αὐτὴν ἑορτάσιμον καὶ πλήρη πρὸς τιμὴν τοῦ θεοπνεύστου προφήτου Δανιήλ.

Τὰ προστεθέντα βάσει τῆς χειρογράφου ἀναπληρώσεως, ἀλλὰ καὶ αἱ λοιπαὶ ἐπὶ τὸ ἑορταστικώτερον προσαρμογαὶ τῆς παρούσης ἀκολουθίας ἔχουν ὡς ἀκολούθως.

1. Ὁ μικρὸς ἑσπερινός. Προέρχεται ἐξ ὁλοκλήρου ἐκ τοῦ χειρογράφου τῆς ἀναπληρώσεως. Ὡς ἀπόστιχα τοῦ μικροῦ ἑσπερινοῦ ὁ συντάκτης τῆς ἀναπληρώσεως πάνυ ὀρθῶς ἐχρησιμοποίησε τὰ προϋπάρχοντα ὡς ἀπόστιχα τῶν αἴνων 3 προσόμοια τοῦ μηναίου, προσθέσας ἐπίσης τὸ προεόρτιον αὐτόμελον εἰς τὸ Δόξα, Καὶ νῦν.

2. Εἰς τὸν μέγαν ἑσπερινόν. Ἐνταῦθα ἐγένοντο αἱ ἀκόλουθοι προσθῆκαι.

α) *Δύο κεκραγάρια προσόμοια* μετὰ τὰ 6 τοῦ μηναίου (τὰ ὁποῖα ἐδηλώσαμεν μὲ τὸν χαρακτηρισμὸν νέα ἐντὸς παρενθέσεως), ὥστε ἐν συνόλῳ τὰ κεκραγάρια γίνονται 8. Σημειωθήτω ὅτι κατὰ τὴν ἀκρίβειαν τῆς τάξεως ταῦτα τὰ δύο προσόμοια λέγονται μόνον εἰς τοὺς πανηγυρίζοντας τὸν προφήτην Δανιὴλ ναούς, ὡς ἐπ᾽ ὀνόματι αὐτοῦ τιμωμένους, εἰς δὲ τοὺς λοιποὺς ναοὺς ψάλλονται μόνον τὰ 6 προσόμοια τοῦ μηναίου.

β) *Τὰ ἀναγνώσματα.* Ταῦτα ὡρίζοντο ὡς ἑξῆς εἰς τὴν χειρόγραφον ἀναπλήρωσιν· *τὸ μὲν πρῶτον ζήτει εἰς τὸν ἑσπερινὸν τῶν Χριστουγέννων, ἀνάγνωσμα ἕκτον..., τὸ δὲ δεύτερον Νοεμβρίου 8... ἀνάγνωσμα τρίτον..., τὸ δὲ τρίτον εἰς τὸν ἑσπερινὸν τοῦ μεγάλου Σαββάτου τὸ τελευταῖον...* Ἡ ἐπιλογὴ τῶν ἀναγνωσμάτων εἶναι ἀσφαλῶς προσφυής, διότι ἅπαντα προέρχονται ἐκ τοῦ βιβλίου τοῦ προφήτου

Δανιήλ, καὶ τὰ μὲν δύο ἀναφέρονται εἰς αὐτὸν τὸν προφήτην, τὸ δὲ τρίτον εἰς τοὺς Τρεῖς Νέους. Ὅμως ὡς ἔχουν ἐν τοῖς μηναίοις τὰ δεύτερον καὶ τρίτον ἀναγνώσματα εἶναι ἐκτενέστατα, καὶ μάλιστα τὸ μὲν δεύτερον εἶναι εἰδικὸν διὰ τὴν σύναξιν τῶν οὐρανίων ταγμάτων, τὸ δὲ τρίτον εἰδικὸν διὰ τὴν ἀκολουθίαν τοῦ μεγάλου Σαββάτου καὶ διὰ τὴν κατὰ τὴν ἀρχαίαν ἐποχὴν βάπτισιν τῶν κατηχουμένων. Διὰ τοῦτο παρεθέσαμεν ἐνταῦθα τμήματα αὐτῶν τῶν δύο ἀναγνωσμάτων, φροντίζοντες ὥστε τὸ μὲν τρίτον ἀνάγνωσμα νὰ εἶναι ἐκτενέστερον τῶν ἄλλων δύο, τὸ δὲ σύνολον καὶ τῶν τριῶν νὰ μὴ ὑπερβαίνῃ τὴν συνήθη ἔκτασιν τῶν ἀναγνωσμάτων τῶν πανηγυρικῶν ἑσπερινῶν. Πλήρη τὰ ἐν λόγῳ δύο ἀναγνώσματα παραθέτομεν ἐν τῷ παραρτήματι.

γ) *Τὰ ἰδιόμελα τῆς λιτῆς.* Ἐκ τῆς χειρογράφου ἀναπληρώσεως. Σημειωτέον ἐνταῦθα ὅτι προσφυῶς ὁ συντάκτης τῆς ἀναπληρώσεως τόσον διὰ τὰ θεοτοκία ὅσον καὶ δι' ἄλλας περιπτώσεις δανείζεται ἁρμοδίους ὕμνους ἐκ τῶν προεορτίων τῶν Χριστουγέννων.

3. Εἰς τὸν ὄρθρον. Ἐνταῦθα ἐγένοντο αἱ ἑξῆς ῥυθμίσεις.

α) *Τὰ καθίσματα.* Προσετέθησαν ἐκ τῆς χειρογράφου ἀναπληρώσεως. Τινὰ ἐξ αὐτῶν ὑπάρχουν καὶ εἰς ἄλλα χειρόγραφα μὲ ἐλαφρὰς παραλλαγάς. Εἰς τὸ κάθισμα τῆς β΄ στιχολογίας *«Προφῆτα θεόσοφε»* αἱ λέξεις *«στόματα δὲ λεόντων ἔφραξας»* εἶναι ἰδική μου προσθήκη καὶ συμπλήρωσις, καθόσον τὸ δοθέν μοι ἀντίγραφον τῆς ἀναπληρώσεως εἶχεν ἐνταῦθα χάσμα.

β) *Τὸ εὐαγγέλιον τοῦ ὄρθρου* μετὰ τῆς τάξεως αὐτοῦ καὶ τοῦ πεντηκοσταρίου ἰδιομέλου. Ἐκ τῆς χειρογράφου ἀναπληρώσεως.

γ) *Τροπάρια τινὰ εἰς τοὺς κανόνας.* Προσετέθησαν ἐκ τῆς χειρογράφου ἀναπληρώσεως, ἕκαστον δὲ τῶν τροπα-

ρίων ἐπίσης ἐδηλώσαμεν μὲ τὸν χαρακτηρισμὸν νέον ἐντὸς παρενθέσεως. Τὰ νέα ταῦτα τροπάρια ἐποίησεν ὁ συντάκτης τῆς ἀναπληρώσεως εἰς τὰς ᾠδὰς τοῦ κανόνος τοῦ προφήτου 3ην, 5ην καὶ 9ην, αἱ ὁποῖαι ἔχουν τρία τροπάρια μόνον ἀντὶ τεσσάρων. Τὰ νέα τροπάρια καταστρέφουσι τὴν ὑπάρχουσαν ἀκροστιχίδα τοῦ κανόνος, διὰ τοῦτο παραθέτομεν αὐτὰ μὲ τὸν χαρακτηρισμὸν *«ἐκτὸς ἀκροστιχίδος»*. Πιθανώτατα ὑπῆρχε τροπάριον καὶ διὰ τὴν 8ην ᾠδήν, ἀλλὰ δὲν περιελαμβάνετο εἰς τὸ δοθέν μοι ἀντίγραφον τῆς ἀναπληρώσεως. Εἰς τὴν 6ην ᾠδὴν ὅμως ἀντὶ ἑνὸς ἐπιπλέον τροπαρίου ὁ συντάκτης τῆς ἀναπληρώσεως παραθέτει ἐκ νέου ὁλόκληρον τὴν ᾠδὴν ποιηθεῖσαν εἰς εἱρμὸν *«Ἱλάσθητί μοι, σωτήρ»*. Σεβόμενοι ὅμως τὸν ἀρχαῖον κανόνα, ὄντα κατὰ τὸ μηναῖον ποίημα τοῦ Θεοφάνους, ἀφήσαμεν τὴν ἐν τῷ ὄρθρῳ 6ην ᾠδὴν ὡς ἔχει ἐν τῷ μηναίῳ, τὴν δὲ νεωτέραν ᾠδὴν παρεθέσαμεν ὡς ἐναλλακτικὴν εἰς τοὺς μακαρισμοὺς τῆς λειτουργίας, διότι νομίζω ὅτι αὐτὸς ἦτο καὶ ὁ λόγος δι᾽ ὃν ὁ ἀναθεωρητὴς συνέταξεν αὐτὴν κατὰ τὸν γνωστὸν εἱρμὸν *«Ἱλάσθητί μοι, σωτὴρ»* ἀντὶ τοῦ σπανίου καὶ ἐν πολλοῖς ἀγνώστου εἱρμοῦ τοῦ μηναίου *«Ὡς τὸν προφήτην ἐρρύσω»*. Περιττὸν ἴσως νὰ τονίσω ἐνταῦθα ὅτι ναὶ μὲν ἡ κίνησις αὕτη τοῦ ἀναθεωρητοῦ ὑπηγορεύθη ἴσως ἐκ πρακτικῶν λόγων πρὸς διευκόλυνσιν τῶν ψαλλόντων, οὐδόλως ὅμως μὲ εὑρίσκει σύμφωνον, διότι δὲν ἐπιτρέπεται ἡ ἀλλοίωσις τῶν ἀρχαίων ἐκκλησιαστικῶν ποιημάτων, ἀληθῶν ὄντων θησαυρῶν τῆς παγκοσμίου καί γε τῆς χριστιανικῆς φιλολογίας, ἀλλὰ καὶ διότι τοιουτοτρόπως ἀπεμπολοῦμεν τὸν πλοῦτον τῆς πατρῴας ἡμῶν ἐκκλησιαστικῆς μουσικῆς διὰ δῆθεν πρακτικοὺς λόγους.

δ) *Ἀφῃρέθησαν* ἐν ἀρχῇ ἑκάστης ᾠδῆς *οἱ εἱρμοὶ τῶν κα-*

νόνων, διότι δὲν λέγονται, ἐφόσον προηγεῖται ὁ κανὼν τῆς Θεοτόκου ἐν καθημερινῇ ἢ ὁ ἀναστάσιμος ἐν Κυριακῇ. Ἐπίσης *ἀφῃρέθησαν οἱ εἱρμοὶ* οἱ ἀναγραφόμενοι ἐν τέλει τῶν ᾠδῶν 3ης, 6ης, 8ης καὶ 9ης, οἱ ὁποῖοι ἐψάλλοντο ἀντὶ καταβασιῶν, ὅτε ἡ ἀκολουθία ἦτο μὴ ἑορτάσιμος.

ε) *Προσετέθησαν αἱ καταβασίαι* τῆς περιόδου πρὸς διευκόλυνσιν τῶν ψαλλόντων.

ς) *Ὁ οἶκος τοῦ προφήτου.* Εἰς τὸ μηναῖον μετὰ τὴν γ΄ ᾠδὴν παρατίθεται κοντάκιον εἰς τὸν προφήτην Δανιήλ, ὁ δὲ συντάκτης τῆς ἀναπληρώσεως προσέθεσε καὶ οἶκον ἁρμόδιον. Ἐνταῦθα τὸ κοντάκιον καὶ ὁ οἶκος τοῦ προφήτου ἐτέθησαν εἰς τὴν 6ην ᾠδήν, καθόσον διὰ τῆς παρούσης ἀναπληρώσεως ἡ ἀκολουθία γίνεται ἑορτάσιμος τονίζουσα κυρίως τὴν προσωπικότητα τοῦ Δανιήλ, ἐνῷ τὰ προϋπάρχοντα εἰς τὸ μηναῖον κοντάκιον καὶ οἶκος τῶν Τριῶν Παίδων μετετέθησαν κατὰ τάξιν μετὰ τὴν 3ην ᾠδὴν πρὸ τοῦ μεσῳδίου καθίσματος.

ζ) *Δύο ἐπιπλέον ἐξαποστειλάρια.* Πλὴν τῶν ἐξαποστειλαρίων τοῦ μηναίου ἡ ἀναπλήρωσις εἶχεν ἕτερα δύο, εἰς ἦχον γ΄, τὸ μὲν ἓν ἀναφερόμενον εἰς τὸν προφήτην Δανιὴλ τὸ δὲ ἕτερον εἰς τοὺς Τρεῖς Νέους. Παρεθέσαμεν ἀμφότερα τὰ νέα ταῦτα ἐξαποστειλάρια καὶ εἶτα τὰ δύο τοῦ μηναίου, εἰς ἦχον β΄, ἐκ τῶν ὁποίων τὸ ἓν εἶναι κοινὸν τοῦ προφήτου καὶ τῶν ἁγίων, τὸ δὲ ἕτερον θεοτοκίον.

η) *Οἱ αἶνοι.* Προσετέθησαν ἐκ τοῦ χειρογράφου τῆς ἀναπληρώσεως. Τὰ δύο τελευταῖα τροπάρια τῶν αἴνων διωρθώθησαν συντακτικῶς καὶ μετρικῶς. Εἰς ἄλλα χειρόγραφα ὑπάρχουν τόσον ὡρισμένα ἐκ τῶν ἐνταῦθα προσομοίων ὅσον καὶ ἕτερα ὁμόηχα. Κατὰ τὴν ἀκρίβειαν τῆς τάξεως καὶ τὰ ἓξ προσόμοια τῶν αἴνων λέγονται μόνον εἰς τοὺς πανηγυρίζοντας τὸν προφήτην Δανιὴλ ναούς, εἰς δὲ

τοὺς λοιποὺς ναοὺς ψάλλονται μόνον 4 προσόμοια.

Πάντα τὰ πρόσθετα τροπάρια χαρακτηρίζονται εἴτε ὡς *«νέα»* εἴτε μὲ τὴν φράσιν *«ἐκ τῆς ἀναπληρώσεως»* πρὸς εὐχερῆ διάκρισίν των ἐκ τῶν παλαιῶν ὕμνων τοῦ μηναίου.

4. Ἡ λειτουργία. Τόσον εἰς τὸ μηναῖον ὅσον καὶ εἰς τὴν ἀναπλήρωσιν οὐδὲν ἐσημειοῦτο περὶ τῆς λειτουργίας.

α) *Εἰς τοὺς μακαρισμούς.* Ἐνταῦθα παραθέτομεν ἐκεῖνα τὰ τροπάρια τῆς χειρογράφου ἀναπληρώσεως τὰ ἀποτελοῦντα μίαν νέαν 6ην ᾠδήν, ἀντ᾽ ἐκείνης τοῦ ὄρθρου, ὡς ἤδη ἐσημειώσμεν (§3γ).

β) *Ὁ ἀπόστολος.* Ἀναγράφονται τὸ προκείμενον, τὸ ἀλληλουιάριον καὶ πλήρη τὰ ἀναγνώσματα. Ἡ ἀποστολικὴ περικοπὴ εἶναι ἡ τῆς Κυριακῆς τῶν ἁγίων Πάντων, ὡς ὁρίζουν ἅπαντα τὰ παλαιὰ τυπικὰ καὶ τὸ λειτουργικὸν βιβλίον τοῦ πραξαποστόλου.

γ) *Τὸ εὐαγγέλιον.* Εἰς τὸ εὐαγγελικὸν ἀνάγνωσμα δὲν ὑπάρχει ὁμοφωνία. Τὸ τυπικὸν τῆς λαύρας τοῦ ἁγίου Σάββα (ἐκδόσεις 1643 καὶ 1771) ὁρίζει· «Εὐαγγέλιον κατὰ Λουκᾶν· *Εἶπεν ὁ Κύριος... Οὐαὶ ὑμῖν, γραμματεῖς...*· ζήτει τῇ δ΄ τῆς ζ΄ ἑβδομάδος ἀπὸ τοῦ μέσου». Ἡ ὁριζομένη περικοπὴ εἶναι συντομωτάτη, ἐκτάσεως μόλις τεσσάρων στίχων, ἀφορᾷ ἀσφαλῶς τὴν μὴ ἑορτάσιμον ἀκολουθίαν τοῦ μηναίου, ἐπελέγη δὲ σύντομος, διότι ἀνεγινώσκετο ὁμοῦ μὲ τὴν περικοπὴν τῆς ἡμέρας. Δὲν φαίνεται νὰ ἔχῃ ἐμφανῆ σχέσιν μὲ τὴν μνήμην τοῦ προφήτου Δανιὴλ καὶ τῶν Τριῶν Νέων, διότι τὸ περιεχόμενόν της ἀναφέρεται εἰς τὴν ὑπὸ τοῦ Κυρίου καταδίκην τῶν νομικῶν, ἤ τοι τῶν διδασκάλων καὶ ἑρμηνευτῶν τοῦ μωσαϊκοῦ Νόμου. Τὸ ἁγιορειτικὸν τυπικὸν τῆς ἁγίου Παύλου καὶ ὁ ἐν χρήσει πραξαπόστολος ὁρίζουν τὴν ἀμέσως ἑπομένην περικοπὴν ἐκ τοῦ κατὰ Λουκᾶν, αὐτὴν τῆς ε΄ τῆς ζ΄ ἑβδομάδος. Ἡ περικοπὴ αὕτη

ἔχει ἱκανὴν ἔκτασιν (9 στίχων), ἀναφέρεται γενικῶς εἰς τοὺς προφήτας καὶ περιλαμβάνει πάλιν μίαν καταδίκην τῶν νομικῶν ὑπὸ τοῦ Κυρίου. Ἐπειδὴ αἱ δύο περικοπαί, ποὺ ὁρίζουν τὰ τυπικά, ἀποτελοῦν κατ᾽ οὐσίαν μίαν ἑνότητα καὶ ἐπειδὴ ἔχουν κοινὸν σημεῖον τὴν καταδίκην τῶν κακῶν ἑρμηνευτῶν τοῦ νόμου ἐν ἀντιδιαστολῇ πρὸς τοὺς προφήτας καὶ τοὺς ἀποστόλους, οἵ τινες εἶναι οἱ γνήσιοι καὶ αὐθεντικοὶ ἑρμηνευταὶ τοῦ νόμου καὶ τοῦ θελήματος τοῦ Θεοῦ, ἐθεώρησα ὅτι εἶναι δυνατὸν ἀμφότεραι νὰ ἀποτελέσουν μίαν νέαν περικοπὴν εἰδικὴν διὰ τὴν μνήμην τοῦ προφήτου καὶ τῶν σὺν αὐτῷ, συμβιβάζοντες οὕτω τὰς ὁδηγίας τῶν τυπικῶν. Ταύτην τὴν νέαν εὐαγγελικὴν περικοπὴ παραθέτομεν ἐνταῦθα ἐκτάσεως 10 στίχων (ἐκ τοῦ δευτέρου εὐαγγελίου ἀφῃρέθη τὸ τελευταῖον τμῆμα αὐτοῦ, ὅπως ἀκριβῶς τὸ Τ.Α.Σ. ὁρίζει τὴν κατὰ τὸ ἥμισυ σύντμησιν τῆς πρώτης περικοπῆς, διὰ νὰ ἀναγνωσθῇ μόνον τὸ τμῆμα τὸ ἔχον σχέσιν μὲ τὴν μνήμην τῶν τιμωμένων ἁγίων). Οἱ βουλόμενοι πάντως δύνανται νὰ ἀναγνώσουν τὴν ὁριζομένην ἐν τῷ εὐαγγελιαρίῳ περικοπήν.

δ) *Τὸ κοινωνικόν.* Ὅπως ἀνεφέρθη, τὸ μηναῖον καὶ ἡ χειρόγραφος ἀναπλήρωσις οὐδὲν σημειοῦν περὶ τοῦ κοινωνικοῦ τῆς ἡμέρας. Σημειοῦμεν τὸ *«Ἀγαλλιᾶσθε, δίκαιοι»*, διότι αὐτὸ εἶναι τὸ κοινωνικὸν διὰ τοὺς προφήτας καὶ γενικῶς τοὺς δικαίους τῆς Παλαιᾶς Διαθήκης, καὶ αὐτὸ ὁρίζουν ὡς κοινωνικὸν τῆς 17ης Δεκεμβρίου ὅλα τὰ παλαιὰ τυπικά.

5. Τὸ τυπικόν. Διὰ τὴν σύνταξιν τοῦ Τυπικοῦ, εἰ τύχοι ἡ μνήμη τῶν ἁγίων ἐν Κυριακῇ, ἐλήφθησαν ὑπόψιν τὰ ἑξῆς τυπικά.

Τυπικὸν τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας (τυπικὸν Βιολάκη)· κυρίως ἡ ὁμοία περίπτωσις τῆς 12ης Δεκεμβρίου ἐν Κυριακῇ.

Τυπικὸν μονῆς Εὐεργέτιδος (12ου αἰῶνος).

Τυπικὸν τῆς λαύρας τοῦ ἁγίου Σάββα (αἱ δύο προαναφερθεῖσαι ἐκδόσεις).


Τυπικὸν Κωνσταντίνου πρωτοψάλτου (β΄ ἔκδοσις 1851)· κυρίως ἡ ὁμοία περίπτωσις τῆς 12ης Δεκεμβρίου ἐν Κυριακῇ.

Τυπικὸν μονῆς ἁγίου Διονυσίου Ἄθω (χειρόγραφον).

Τυπικὸν μονῆς ἁγίου Παύλου Ἄθω (χειρόγραφον).

Τυπικὸν Γεωργίου Ῥήγα (1909)· κυρίως ἡ ὁμοία περίπτωσις τῆς 12ης Δεκεμβρίου ἐν Κυριακῇ.

6. Τὸ παράρτημα. Ἐνταῦθα παραθέτομεν ὁλόκληρα τὰ δεύτερον καὶ τρίτον ἀναγνώσματα τοῦ ἑσπερινοῦ, ὅπως ὑπάρχουν εἰς τὰ ἐν χρήσει λειτουργικὰ βιβλία διὰ τοὺς θέλοντας νὰ χρησιμοποιήσουν αὐτά. Ἐπίσης ἀναγράφομεν τὸ εὐαγγέλιον τοῦ ὄρθρου πρὸς διευκόλυνσιν τῶν λειτουργῶν.



ΠΑΡΑΡΤΗΜΑ

[ΤΟ ΩΣ ΔΕΥΤΕΡΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ]

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα
(κεφ. 10, 1-21)

Ἐν ἔτει τρίτῳ Κύρου τοῦ βασιλέως Περσῶν, λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ· καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν ὀπτασίᾳ. Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν. Καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν ἐν τῷ στόματί μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. Καὶ ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, ἐν τῷ τρίτῳ ἔτει, ἐγὼ ἤμην ἐχόμενα τοῦ ποταμοῦ τοῦ μεγάλου, οὗτός ἐστι Τίγρις. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ εἷς, ἐνδεδυμένος βαδδίν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη χρυσίῳ Ὠφάζ· καὶ τὸ σῶμα αὐτοῦ ὡσεὶ Θαρσίς, καὶ τὸ πρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυρός, καὶ οἱ βραχίονες αὐτοῦ καὶ τὰ σκέλη ὡς ὅρασις χαλκοῦ στίλβοντος, καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ, ὡς φωνὴ ὄχλου. Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ᾽ ἐμοῦ οὐκ εἶδον· ἀλλ᾽ ἢ ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ᾽ αὐτούς, καὶ ἔφυγον ἐν φόβῳ. Καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ εἶδον τὴν ὀπτασίαν

τὴν μεγάλην ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ ἰσχύς, καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσχύος. Καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν τῷ ἀκοῦσαί με φωνὴν ῥημάτων αὐτοῦ ἤμην κατανενυγμένος ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν. Καὶ ἰδοὺ χεὶρ ἁπτομένη μου, καὶ ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ταρσοὺς χειρῶν μου. Καὶ εἶπε πρός με· Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ, καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρός με τὸν λόγον τοῦτον ἀνέστην ἔντρομος. Καὶ εἶπε πρός με· Μὴ φοβοῦ, Δανιήλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἧς ἔδωκας τὴν καρδίαν σου συνιέναι καὶ κακωθῆναι ἔναντι Κυρίου τοῦ Θεοῦ σου ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. Καὶ ὁ ἄρχων τῆς βασιλείας Περσῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν· καὶ ἰδοὺ Μιχαήλ, εἷς τῶν ἀρχόντων τῶν πρώτων, ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας Περσῶν. Καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσει τῷ λαῷ σου ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν· ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ κατὰ τοὺς λόγους τούτους ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν καὶ κατενύγην. Καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου, καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναντίον μου· Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί, καὶ οὐκ ἔσχον ἰσχύν. Καὶ πῶς δυνήσεται ὁ παῖς σου, Κύριε, λαλῆσαι μετὰ τοῦ Κυρίου μου τούτου; Καὶ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί. Καὶ προσέθετο, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με καὶ εἶπέ μοί· Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι, ἀνδρίζου καὶ

ἴσχυε. Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ ἴσχυσα καὶ εἶπα· Λαλείτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσάς με. Καὶ εἶπεν· Εἰ οἶδας ὅτι ἦλθον πρὸς σέ; Καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος Περσῶν, καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο. Ἀλλ᾽ ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ᾽ ἐμοῦ περὶ τούτων, ἀλλ᾽ ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

[ΤΟ ΩΣ ΤΡΙΤΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ]

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα
(κεφ. 3, 1-23, καὶ 1-33)

Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεϊρὰ ἐν χώρᾳ Βαβυλῶνος. Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους τε καὶ τυράννους καὶ τοὺς ἐπ᾽ ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ᾽ ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύι· ὑμῖν λέγεται, λαοί, φυλαὶ καὶ γλῶσσαι· ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πί-

πτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ ἐγένετο, ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ Ναβουχοδονόσορ· Βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Σύ, βασιλεῦ, ἔθηκας δόγμα πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ. Καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ

ομένην. Καὶ τίς ἐστι θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; Ἀπεκρίθησαν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· Οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς. Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύι εἶπε πεδήσαντας τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε, καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. Καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι. Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον.

Προσευχὴ Ἀζαρίου καὶ ὕμνος τῶν Τριῶν

Καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν·

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ

κρίσεις σου ἀλήθεια, καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἰερουσαλήμ, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα, διὰ τὰς ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης.Ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ᾽ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε καὶ

ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος Θεὸς μόνος καὶ ἔνδοξος ἐφ᾽ ὅλην τὴν οἰκουμένην.

Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν καὶ στυππίον καὶ κληματίδα. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα. Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς.

Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ εὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες·

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς πάντας τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.


ΑΘΗΝΑ



ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΟΥ ΟΡΘΡΟΥ

Ἐκ τοῦ κατὰ Μᾶρκον

(ιγ΄ 14-23)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὅταν ἴδητε «τὸ βδέλυγμα τῆς ἐρημώσεως» τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου ἑστὼς ὅπου οὐ δεῖ –ὁ ἀναγινώσκων νοείτω–, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. Ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ Θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολόβωσε Κύριος τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσε τὰς ἡμέρας. Καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστός, ἰδοὺ ἐκεῖ, μὴ πιστεύετε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ὑμεῖς δὲ βλέπετε· ἰδοὺ προείρηκα ὑμῖν ἅπαντα.



Ὁ προφήτης Δανιήλ.
(Τοιχογραφία Καθολικοῦ Μονῆς Διονυσίου).

ΠΕΡΙΕΧΟΜΕΝΑ

Πρόλογος Σεβασμιωτάτου 3


Ἀκολουθία ἁσματική

Ἐν τῷ μικρῷ ἑσπερινῷ 7
Ἐν τῷ μεγάλῳ ἑσπερινῷ 10
Εἰς τὴν λιτήν 17
Εἰς τὸν στίχον 19
Ἐν τῷ ὄρθρῳ 22
Εἰς τοὺς αἴνους 42
Ἐν τῇ λειτουργίᾳ 45

Τυπικόν 49
Παρατηρήσεις ἐπὶ τῆς παρούσης ἀκολουθίας 52

Παράρτημα

Τὸ ὡς δεύτερον ἀνάγνωσμα τοῦ ἑσπερινοῦ 61
Τὸ ὡς τρίτον ἀνάγνωσμα τοῦ ἑσπερινοῦ 63
Προσευχὴ Ἀζαρίου καὶ ὕμνος τῶν Τριῶν Παίδων 65
Τὸ εὐαγγέλιον τοῦ ὄρθρου 69


«Τῷ δὲ βασιλεῖ τῶν αἰώνων,
ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ Θεῷ,
τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας
τῶν αἰώνων· ἀμήν».



ISBN 978-960-98025-1-2